Ναὸς τῆς Ἀναστάσεως
1981

# ΑΚΟΛΟΥΘΙΑ
# ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΠΑΛΑΙΣΤΙΝῌ ΑΓΙΩΝ

Ἐκδίδεται
κελεύσει τῆς Α.Θ.Μ. τοῦ Πατριάρχου Ἱεροσολύμων
κ.κ. ΔΙΟΔΩΡΟΥ Α΄

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ 1981



*Οἱ ἐν Παλαιστίνῃ Ἅγιοι Πάντες*



Η Α.Θ.Μ. Ο ΠΑΤΡΙΑΡΧΗΣ ΙΕΡΟΣΟΛΥΜΩΝ **ΔΙΟΔΩΡΟΣ Α΄**

# *ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ*

*Ἡ Ἐκκλησία Ἱεροσολύμων σεμνυνομένη καὶ εὐφραινομένη ἐπὶ τῷ περικειμένῳ αὐτῇ ὁλοφώτῳ νέφει Ἁγίων καὶ δὴ Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Μαρτύρων, Ἱεραρχῶν, Ὁμολογητῶν καὶ Ὁσίων, ἐξαιρέτως δὲ τῆς Παναγίας, Ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας καὶ διὰ μέσου τοῦ ὅλου Ἐκκλησιαστικοῦ ἐνιαυτοῦ τιμῶσα καὶ γεραίρουσα τούτους ἐπαξίως, εὐχαριστίας ἀναφέρει ἐκ βαθέων τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι.*

*Ἐν εὐλαβείᾳ δὲ πολλῇ, ἔδοξεν αὐτῇ, συναγαγεῖν πᾶσαν τὴν πάνσεπτον ταύτην χορείαν τῶν ἐν Παλαιστίνῃ Ἁγίων ἐν μιᾷ ὁμοῦ ἑορτῇ, πρὸς πλείονα τιμὴν αὐτῶν καὶ δόξαν, πρὸς ἰδιαιτέραν εὐκαιρίαν κοινωνίας ἡμῶν μετὰ τῶν ἔργων καὶ λόγων, τῶν παθημάτων καὶ τῆς δόξης αὐτῶν καὶ πρὸς θερμοτέρας δεήσεις ἡμῶν, ἵνα πρεσβεύωσι τῷ Κυρίῳ ὑπὲρ σωτηρίας τοῦ Λαοῦ τοῦ Θεοῦ, ὑπὲρ ἀγαθῆς καταστάσεως τῆς Σιωνίτιδος Ἐκκλησίας καὶ ὑπὲρ εἰρηνεύσεως τῆς Ἁγίας Γῆς, ἣν διὰ τῶν τιμίων αὐτῶν αἱμάτων καὶ ταῖς τῶν δακρύων αὐτῶν ῥοαῖς ἐπότισαν.*

*Προνοίᾳ οὖν τοῦ Μακαριωτάτου Πατρὸς ἡμῶν καὶ Πατριάρχου Ἱεροσολύμων κ. Διοδώρου ἐποιήθη ἡ μετὰ χεῖρας πανηγυρικὴ Ἀκολουθία πάντων τῶν ἐν Παλαιστίνῃ λαμψάντων Ἁγίων, ὑπὸ τοῦ Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου, καὶ ἐγκρίσει τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τοῦ ἡμετέρου Πατριαρχείου Ἱεροσολύμων καθωρίσθη ἡ μνήμη αὐτῶν ὡς ἑορτὴ τῆς Σιωνίτιδος Ἐκκλησίας, ἀγομένη τῇ πρώτῃ Κυριακῇ μετὰ τὴν τῶν Ἁγίων Πάντων ἑκάστου ἔτους.*

*Ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλὴμ 20 Φεβρουαρίου 1981*

*† Ὁ Μητροπολίτης Καισαρείας Βασίλειος*
*Ἀρχιγραμματεὺς τοῦ Πατριαρχείου Ἱεροσολύμων*



# Ἀκολουθία Πάντων τῶν ἐν Παλαιστίνῃ Ἁγίων.

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει
ὑπὸ
Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.



Τῇ Β΄ Κυριακῇ τοῦ Ματθαίου, ἤτοι τῇ Κυριακῇ μετὰ τῶν Ἁγίων Πάντων. Μνήμην κοινὴν ἐπιτελοῦμεν πάντων τῶν ἐν Παλαιστίνῃ διαλαμψάντων Ἁγίων.

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.
Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Η τῆς Σιὼν Ἐκκλησία τέρπου καὶ χόρευε, τῶν ἐν τῇ Παλαιστίνῃ, θεοφόρων Ἁγίων, τὴν μνήμην ἐκτελοῦσα καὶ τὸν Χριστόν, τὸν νυμφίον σου δόξασον, τὸν ἀναδείξαντα τούτους πάσῃ τῇ γῇ, ὡς φωστῆρας ὑπερλάμποντας.

**Τ**ῶν Προφητῶν ἡ χορεία καὶ Ἀποστόλων Χριστοῦ, ὁ θεηγόρος δῆμος, καὶ Ὁσίων Πατέρων, Μαρτύρων καὶ Ἁγίων Ἱεραρχῶν, ἀνυμνείσθω τὸ σύστημα· τῆς Παλαιστίνης τὴν χθόνα γὰρ ἐμφανῶς, θείοις σκάμμασιν ἐλάμπρυναν.

**Ε**ʼν τῇ Σιὼν Ζωοδότα τυθεὶς ὡς πρόβατον, συνήθροισας Ἁγίων, θεοφόρων χορείαν, ἐν πάσῃ Παλαιστίνῃ πάθος τὸ σόν, θεοφρόνως ζηλώσαντας· οὓς ἐν μιᾷ νῦν ἡμέρᾳ πάντας ὁμοῦ, μακαρίζομεν ὑμνοῦντές σε.

**Ε**ʼν διαφόροις τοῖς χρόνοις Χριστὸν δοξάσαντες, ἰδέαις πολυτρόποις, καὶ ποικίλοις ἀγῶσιν, ἐν χώρᾳ Παλαιστίνης πάντες γνωστοί, καὶ ἀνώνυμοι Ἅγιοι, τὴν ἐν Σιὼν Ἐκκλησίαν πάντες ὁμοῦ, πάσης βλάβης διασῴζετε.

Δόξα. Ἦχος α΄.

**Τ**ὸν πολυσύνθετον δῆμον τῶν Ἁγίων, τῶν ἐκ Προφητῶν, Ἀποστόλων καὶ Μαρτύρων, Ἱεραρχῶν καὶ Ὁσίων Πατέρων, καὶ ἐκ πάσης ἡλικίας καὶ τάξεως συγκροτούμενον, ὕμνοις καὶ ᾠδαῖς εὐφημήσωμεν· πολυειδῶς γὰρ καὶ πολυτρόπως, Χριστῷ εὐηρέστησαν, καὶ τὴν Ἁγίαν τῆς Παλαιστίνης χώραν, ἐπὶ πλεῖον ἐλάμπρυναν, ἁγίοις αὐτῶν σκάμμασι, καὶ θαυμάτων δυνάμεσι, καὶ παντοδαπέσι χάρισιν· οὓς ὁμοφρόνως ὑμνοῦντες, τῷ Κυρίῳ βοήσωμεν. Ὁ ἐν Ἁγίοις δοξαζόμενος Σῶτερ, ταῖς αὐτῶν παρακλήσεσι, δίδου ἡμῖν τὰ ἐλέη σου, ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Καὶ νῦν. Ὁ αὐτός.

**Π**αρθενικὴ πανήγυρις σήμερον ἀδελφοί· σκιρτάτω ἡ κτίσις, χορευέτω ἡ ἀνθρωπότης, συνεκάλεσε γὰρ ἡμᾶς, ἡ Ἁγία Θεοτόκος, τὸ ἀμόλυντον κειμήλιον τῆς παρθενίας, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ Παράδεισος, τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν δύο φύσεων, ἡ πανήγυρις τοῦ σωτηρίου συναλλάγματος, ἡ παστὰς ἐν ᾗ ὁ Λόγος, ἐνυμφεύσατο τὴν σάρκα, ἡ ὄντως κούφη νεφέλη, ἡ τὸν ἐπὶ Χερουβὶμ μετὰ σώματος βαστάσασα. Ταῖς αὐτῆς ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.



**Ἀπόστιχα.**

Πρῶτον τὸ Ἀναστάσιμον τοῦ Ἤχου.

**Τ**ῷ πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν, Κύριε δόξα σοι.

Εἶτα τῶν Ἁγίων. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

**Μ**ῆτερ Ἐκκλησιῶν, Σιὼν Ἁγία χαῖρε, τῶν ἐν τῇ Παλαιστίνῃ, Ἁγίων σου τὴν μνήμην, ἐνθέως ἑορτάζουσα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Χ**αῖρε τῶν Προφητῶν, καὶ Ἀποστόλων στῖφος, Μαρτύρων καὶ Ὁσίων, ἁπάσης Γῆς ἁγίας, φωστῆρες παμφαέστατοι.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

**Ν**όμου ἱερουργοί, καὶ Χάριτος οἱ μύσται, οἱ ἐκ τῆς Παλαιστίνης, ἐκλάμποντες τῷ κόσμῳ, συμφώνως ἀνυμνείσθωσαν.

Δόξα. Τριαδικόν.


Ἄναρχε Παντουργέ, Τρισήλιε Θεότης, τῶν ἐν τῇ Παλαιστίνῃ, Ἁγίων σου πρεσβείαις, τὴν Ἐκκλησίαν φύλαττε.

Καὶ νῦν. Θεοτοκίον.

Κήρυγμα Προφητῶν, καὶ Ἀποστόλων δόξα, καὶ κράτος Ἀθλοφόρων, ὑπάρχεις Θεοτόκε, μεθ' ὧν σε μεγαλύνομεν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.





**Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.**

**Μετὰ τὸν Προοιμιακόν, Τὸ α΄. Κάθισμα τοῦ Ψαλτηρίου. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν Ἀναστάσιμα δ΄. καὶ τῶν Ἁγίων στ΄.**

**Ἀναστάσιμα. Ἦχος α΄.**

Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι Ἅγιε Κύριε, καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν· ὅτι μόνος εἶ ὁ δείξας, ἐν κόσμῳ τὴν ἀνάστασιν.

Κυκλώσατε λαοὶ Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν· ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ, τὴν ἐκ νεκρῶν Ἀνάστασιν· ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν κόσμον λυτρωσάμενος.

Εὐφράνθητε οὐρανοί, σαλπίσατε τὰ θεμέλια τῆς γῆς, βοήσατε τὰ ὄρη εὐφροσύνην· ἰδοὺ γὰρ ὁ Ἐμμανουήλ, τὰς ἁμαρτίας ἡμῶν, τῷ Σταυρῷ προσήλωσε, καὶ ζωὴν ὁ διδούς, θάνατον ἐνέκρωσε, τὸν Ἀδὰμ ἀναστήσας ὡς φιλάνθρωπος.

Τῶν Ἁγίων. Ἦχος δ΄. Ὡς γεναῖον ἐν Μάρτυσι.

Ὥσπερ μήτηρ πολύτεκνος, τῇ τοῦ Πνεύματος Χάριτι, Ἐκκλησία σήμερον ἐπαγάλλεται, ἡ τῆς Σιὼν ἡ περίβλεπτος, χορὸν πολυάριθμον, ἐξ Ἁγίων Προφητῶν, Ἀποστόλων προβάλλουσα, Ἀθλητῶν ὁμοῦ, θεοφόρων Πατέρων καὶ Ποιμένων, καὶ κλεινῶν Ἀρχιερέων, οὓς εὐφημεῖ κοινοῖς ᾄσμασιν.

Ἐλλαμφθέντες τῷ Πνεύματι, οἱ Προφῆται οἱ ἔνθεοι, τοῦ Χριστοῦ τὴν σάρκωσιν προκατήγγειλαν, ἣν οἱ θεόπται Ἀπόστολοι, τῷ κόσμῳ ἐκήρυξαν, ὁρμηθέντες ἐκ Σιών, καὶ οἱ Ἅγιοι Μάρτυρες ἐμεγάλυναν, οἱ ἐκ πάσης γωνίας Παλαιστίνης, διαλάμψαντες τῷ κόσμῳ, ἀθλητικοῖς ἀγωνίσμασιν.

Ἱεράρχαι, οἱ ἔνθεοι, τὴν Σιὼν οἱ ποιμάναντες, ὡς Χριστοῦ θεράποντες γνησιώτατοι, καὶ οἱ ἐν ἄλλαις ταῖς πόλεσι, Παλαιστίνης λάμψαντες, ὅσιοι Ἀρχιερεῖς, καὶ Θεὸν θεραπεύσαντες, βίῳ κρείττονι, μυστηρίων ὡς θείων ὑποφῆται, καὶ φωτὸς ἀΰλου σκεύη, μελῳδικῶς ἀνυμνείσθωσαν.

Δωδεκάδα τὴν πάντιμον, Ἀποστόλων τιμήσωμεν, ὡς Ἁγίου Πνεύματος θείας σάλπιγγας, καὶ Μαθητὰς Ἑβδομήκοντα, Χριστοῦ μακαρίσωμεν, καὶ κλεινῶν Πατριαρχῶν, δωδεκάριθμον σύστημα, καὶ τοὺς λάμψαντας, πρὸ τοῦ νόμου ὁμοῦ καὶ ἐν τῷ νόμῳ, σὺν Προφήταις θεηγόροις, καὶ τῶν Δικαίων τὸν σύλλογον.

Ἀθλοφόροι ἀήττητοι, τῆς Χριστοῦ παρατάξεως, οἱ γνωστοὶ καὶ ἅπαντες οἱ ἀνώνυμοι, οἱ τῶν αἱμάτων τοῖς ῥεύμασι, τὴν γῆν καταρδεύσαντες, Παλαιστίνης τὴν σεπτήν, καὶ τοῖς πᾶσι παρέχοντες, χάριν ἄφθονον, σὺν ἁγίοις Γυναίοις καὶ Παρθένοις, καὶ νηπίοις δυσωπεῖτε, ὑπὲρ ἡμῶν τὸν Φιλάνθρωπον.



Ἰορδάνου ἡ ἔρημος, ὥσπερ ἄνθη πανεύοσμα, τῶν Ὁσίων ἤνεγκε θεῖον σύστημα· τοὺς Ἀσκητὰς τοὺς θεόφρονας, καὶ Ὁσιομάρτυρας, τοὺς Ἁγίους τοῦ Χριστοῦ, τοὺς λαμπρῶς ἀριστεύσαντας, θείοις σκάμμασι, καὶ βαρβάρων τὸ θράσος καθελόντας· οὓς ὡς πρέσβεις ἡμῶν θείους, πρὸς τὸν Σωτῆρα τιμήσωμεν.

Δόξα. Ἦχος πλ. β΄.

Νέφος πολυσύνθετον θεοφόρων Ἁγίων, δίκην ἀστέρων φαεινῶν, τῇ Ἐκκλησίᾳ ἐπέλαμψεν, οἱ ἐν Παλαιστίνῃ πάντες Ἅγιοι, ἡμᾶς φωταγωγοῦντες· δεῦτε ὁ τῆς Σιωνίτιδος Ἐκκλησίας, περιούσιος λαός, τὴν μνήμην αὐτῶν ἑορτάσωμεν, ὁμοφώνως βοῶντες· χαίρετε Προφῆται θεόληπτοι, οἱ ποικίλοις αἰνίγμασι τοῦ Χριστοῦ τὴν παρουσίαν, τρανῶς προκαγγείλαντες· χαίρετε Ἀπόστολοι θεηγόροι, οἱ Εὐαγγελίου τὸ φῶς, λόγοις καὶ ἔργοις καὶ θαύμασι, πάσῃ τῇ κτίσει κηρύξαντες· χαίρετε Ἀθλοφόροι στερροί, καὶ Ἱεράρχαι σοφοί, καὶ Ὅσιοι Πατέρες, γνωστοὶ καὶ ἀνώνυμοι. Ὡς ἔχοντες παρρησίαν πρὸς Χριστόν, ἀπαύστως δυσωπεῖτε, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Καὶ νῦν. Ἦχος α΄.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς Θεότητος· αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον, ὁ Κύριος ἐβασίλευσεν... καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
**(Κεφ. μγ΄. 9—14).**

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγὼ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
**(Κεφ. γ΄. 1—9).**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
**(Κεφ. ε΄. 15—23, στ΄. 1—3).**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.
Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἐν Σιὼν ἁγία Ἐκκλησία, ἡ μήτηρ πασῶν τῶν Ἐκκλησιῶν, καὶ τῆς ἀληθείας ἀκρόπολις· ὁ Θεὸς γὰρ ἐν μέσῳ σου, ὡς φησὶν ὁ Δαβίδ, καὶ οὐ σαλευθήσῃ· τῷ γὰρ Σταυρῷ τοῦ Σωτῆρος, Προφῆται ἐν σοὶ προφαίνουσι, καὶ Ἀπόστολοι μυσταγωγοῦσι, καὶ Μάρτυρες θριαμβεύουσι, καὶ Ὅσιοι Πατέρες, Χριστῷ συσταυροῦνται· καὶ πάντες τὴν Ἀνάστασιν αὐτοῦ, τρανῶς κηρύττουσιν, ὡς τὰς ἐλλάμψεις αὐτῆς, ἤδη καρπούμενοι· διὸ τὴν μνήμην αὐτῶν ἑορτάζουσα, τῷ σῷ νυμφίῳ βόησον· Κύριε δόξα σοι.

Ἦχος β΄.

Τὴν τῶν Ἁγίων ἁγιόλεκτον χορείαν, τὴν ἐξ' Ἀποστόλων Προφητῶν καὶ Ἱεραρχῶν, Μαρτύρων καὶ Ὁσίων, καὶ πάσης ἡλικίας συγκειμένην, πᾶς ὁ τοῦ Θεοῦ λαός, ὕμνοις ὁμοῦ τιμήσωμεν· εἰ γὰρ καὶ διαφόροις χρόνοις, Χριστῷ εὐηρέστησαν, καὶ ποικίλοις τρόποις, τὸν Κύριον τῆς δόξης ἐδόξασαν, καὶ πᾶσαν Παλαιστίνην ἡγίασαν, ἀλλ' ἐν Ἐκκλησίᾳ τῶν πρωτοτόκων, πάντες ὁμοῦ ἐσκήνωσαν, καὶ τῷ Σωτῆρι βοῶσι· Κύριε, ἐπίβλεψον ἐπὶ τὴν ἄμπελον ταύτην, καὶ δίδου τῷ λαῷ σου, τοὺς ἀγαθούς σου οἰκτιρμούς, ὡς μόνος Φιλάνθρωπος.

Ἦχος γ΄.

Προφητικῇ ἐκλάμψαντες δωρεᾷ, Ἅγιοι Προφῆται, τοῦ Εὐαγγελίου ἐργάται ὤφθητε, Ἀπόστολοι μακάριοι· ἔνθεν ἡ Παλαιστίνειος γῆ, ὑμᾶς μακαρίζει, σὺν τοῖς ἐν αὐτῇ Ἀθληταῖς, καὶ Ἱεράρχαις καὶ Ὁσίοις, καὶ στερροῖς Ὁσιομάρτυσι· καὶ τοῖς ἀγῶσιν ὑμῶν κοσμουμένη καὶ αἵμασι, πάνδημον συγκροτεῖ ἑορτήν, εἰς αἴνεσιν



ὑμῶν Ἅγιοι. Ἀλλ' ὡς ἔχοντες παρρησίαν Χριστῷ, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Οἱ τῆς Ἁγίας Σιὼν νυμφαγωγοὶ καὶ ποιμένες, καὶ πάσης Παλαιστίνης φωστῆρες πολύφωτοι, οἱ ἐν αὐτῇ πάντες Ἅγιοι, ἡμᾶς συγκαλοῦσι πρὸς πνευματικὴν πανδαισίαν· ποικίλοις γὰρ ἐπιτηδεύμασι, καὶ πολλοῖς ἀγῶσι καὶ ἱδρῶσι, καὶ ἀρετῶν ἀναβάσεσι, τῆς ἐν Χριστῷ ζωῆς τοὺς καρποὺς ἐγεώργησαν, καὶ τῆς μελλούσης δόξης τὰς ἀμοιβὰς ἐκφαίνουσι· δι' ὧν παιδεύουσιν ἡμᾶς, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, ὡς ἂν μέτοχοι γενώμεθα, τῶν αἰωνίων ἀγαθῶν, ταῖς πρὸς Θεὸν αὐτῶν δεήσεσι.

Δόξα. Ὁ αὐτός.

Τῶν ἐν Παλαιστίνῃ Ἁγίων, τὴν παγγέραστον πανήγυριν, πᾶσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἐν πνεύματι καὶ ἀληθείᾳ ἑορτάσωμεν· οὗτοι γὰρ οἱ μακάριοι, ὡς πολύφωτοι λαμπάδες, ἐκ τῆς ἁγίας Γῆς, πᾶσιν ἐκλάμπουσι τὰ κρίττονα· καὶ οἱ μὲν καθαρότητα ζωῆς, καὶ ἠθῶν σεμνότητα, καὶ βίου λαμπρότητα, πάντας διδάσκουσιν· οἱ δέ, τῆς τελείας ἀγάπης, πρὸς Χριστὸν καὶ τὸν ἔγγιστα, μυσταγωγοῦσι τὸν ὅρον, οἰκείῳ ὑποδείγματι· καὶ πάντες ὁδηγοῦσιν ἡμᾶς πρὸς τρίβον σωτηρίας, πρεσβεύοντες Χριστῷ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

**Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.**
**Πρῶτον τὸ Ἀναστάσιμον. Ἦχος α΄.**

Τῷ πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημαν, καὶ τῇ Ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν. Κύριε δόξα σοι.

Εἶτα τῶν Ἁγίων. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ τῶν Ἁγίων πληθύς, οἱ Παλαιστίνην ἁγιάσαντες ἅπασαν, ἁγίοις ὑμῶν ἀγῶσι, καὶ ἀρετῶν τῷ φωτί, παθῶν τὴν ὁμίχλην διαλύοτες, Προφῆται θεόληπτοι, καὶ Ἀπόστολοι πάνσοφοι, Μαρτύρων δῆμος, Ἱεράρχαι θεόσοφοι, καὶ ὁμήγυρις Ἀσκητῶν ἡ θεόλεκτος· σκεύη τὰ καθαρώτατα, δοχεῖα πολύτιμα, τῶν θεϊκῶν δωρημάτων, καὶ μυστικῶν ἐπιλάμψεων. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Στίχ.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις ἡ τῶν Ἁγίων πληθύς· οἱ διαφόροις διαπρέψαντες σκάμμασι, τὸ πάλαι καὶ ἐπ᾽ ἐσχάτων, ὡς πτερωθέντες τὸν νοῦν, ἀγαπήσει θείᾳ τοῦ Παντάνακτος· οἱ μὲν δι᾽ ἀθλήσεως, οἱ δὲ πόνοις ἀσκήσεως, οἱ δὲ σοφίᾳ, καὶ ποικίλοις χαρίσμασι, μεγαλύναντες, τοῦ Σωτῆρος τὴν σάρκωσιν· ὅθεν ὑμᾶς γεραίρουσα, μιᾷ μνήμῃ σήμερον, ἡ τῆς Σιὼν Ἐκκλησία ἀγαλλιᾶται τῷ πνεύματι, Χριστὸν ἀνυμνοῦσα, τὸν δοξάσαντα πλουσίως, ὑμᾶς μακάριοι.

**Στίχ.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Χαίροις ἡ τῶν Ἁγίων πληθύς· Εὐαγγελίου ὑποφῆται καὶ κήρυκες, σοφίας τῆς ὑπερσόφου, μυσταγωγοὶ ἀληθεῖς, πίστεως τῆς θείας θεῖαι σάλπιγγες· Ἀπόστολοι ἔνδοξοι, Ἱεράρχαι καὶ Ὅσιοι, καὶ σὺν Προφήταις,



Ἀθλοφόροι καὶ Μάρτυρες, γνωστοὶ ἅπαντες, ἀνωνύμων τε σύστημα· στῦλοι οἱ οὐρανόφωτοι, οἱ κόσμῳ ἐκλάμποντες, ἐκ Παλαιστίνης τὸ φέγγος, τῆς ἐν Χριστῷ ἐπιγνώσεως, ἀεὶ δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Τὴν πολυάριθμον πληθύν, τῶν ἐν Παλαιστίνῃ Ἁγίων, τὴν ἐκ πάσης ἡλικίας συγκροτουμένην καὶ τάξεως, πάντες πιστοὶ εὐφημήσωμεν· διαφόροις γὰρ καιροῖς, ἐν ποικίλοις τρόποις καὶ πράξεσι, τοῦ Χριστοῦ τὸ πάθος ἐμιμήσαντο, καὶ τῆς Ἀναστάσεως κοινωνοὶ ἐγένοντο· ὡς γὰρ συμπαθόντες εἰκότως συνδοξάζονται, κατὰ τὴν θείαν ἐπαγγελίαν· αὐτοῖς βοήσωμεν· Ἀπόστολοι καὶ Μάρτυρες, Ἱεράρχαι, Ὅσιοι καὶ Προφῆται, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. **Θεοτοκίον.**

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὰ Ἀπολυτίκια. Πρῶτον τὸ Ἀναστάσιμον.

Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν

ζωήν· διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν, ἐβόων σοι Ζωοδότα· δόξα τῇ Ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου μόνε φιλάνθρωπε.

Τῶν Ἁγίων. Ἦχος ὁ αὐτός. Τῆς ἐρήμου πολίτης.

Πολυάριθμον δῆμον τῶν Ἁγίων τιμήσωμεν, τοὺς ἐν Παλαιστίνῃ ἐν χρόνοις, διαφόροις ἐκλάμψαντας, Προφήτας, Ἀποστόλους, Ἀθλητάς, Ὁσίους, Ἱεράρχας Ἀσκητάς, τοὺς γνωστοὺς καὶ ἀνωνύμους καὶ πρὸς αὐτούς, ἀπὸ ψυχῆς βοήσωμεν· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ φωταυγοῦντι δι' ὑμῶν, πᾶσαν τὴν ὑφήλιον.

Ἕτερον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἁγίων ὑμνήσωμεν, ἡγιασμένην πληθύν, ἁγίως ἐκλάμψαντας, ἐν διαφόροις καιροῖς, ποικίλοις ἐν σκάμμασι, πάσῃ τῇ Παλαιστίνῃ, καὶ λαμπρῶς δοξασθέντας, ἤδη δὲ συναφθέντας, τοῖς χοροῖς τῶν Ἀγγέλων, μεθ' ὧν καὶ ἱκετεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

Ἀπόλυσις.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

**Μετὰ τὴν α'. Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα. Ἦχος α'.**

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, Γυναιξὶ τὴν Ἀνάστασιν· σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην· σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Δόξα. Ὅμοιον.

Σταυρῷ προσηλωθείς, ἑκουσίως Οἰκτίρμον, ἐν μνήματι τεθείς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος συνέτριψας, Δυνατὲ τῷ θανάτῳ σου· σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ Ἅδου· σὺ συνήγειρας, τοὺς ἀπ' αἰῶνος θανόντας, ὡς μόνος φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

**Μετὰ τὴν β' Στιχολογίαν, Καθίσματα τῶν Ἁγίων. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Χορὸς περιφανής, θεοφόρων Ἁγίων, ἐκλάμπουσιν ἡμῖν, ὡς πολύφωτα ἄστρα· αὐτῶν τὴν θείαν σύναξιν, εὐλαβῶς ἑορτάσωμεν, ἵνα λάβωμεν, αὐτῶν ταῖς θείαις πρεσβείαις, φῶς οὐράνιον, καὶ τῶν πταισμάτων τὴν λύσιν, καὶ χάριν καὶ ἔλεος.

Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀπόστολοι ἔνδοξοι, καὶ Ἱεράρχαι Χριστοῦ, Προφῆται καὶ Μάρτυρες, καὶ Ἀσκηταὶ οἱ σοφοί, γνωστοὶ καὶ ἀνώνυμοι, πάσης τῆς Παλαιστίνης, ὁδηγοὶ πρὸς τὰ ἄνω, πάσῃ τῇ Ἐκκλησίᾳ, ἐξαιτεῖσθε θεόθεν, εἰρήνην ἀστασίαστον, καὶ θείαν χρηστότητα.

Καὶ νῦν. Θεοτοκίον.

Θεὸν τὸν ἀσώματον, ὑπερφυῶς ἐν σαρκί, τεκοῦσα Πανάμωμε, δι᾿ εὐσπλαγχνίαν πολλήν, χαρᾶς ὤφθης πρόξενος, πᾶσι τοῖς ἐν τῇ λύπῃ, τῆς ἀρᾶς θλιβομένοις· ὅθεν σε ὡς αἰτίαν, τῆς ἡμῶν σωτηρίας, ὑμνοῦμεν Θεοτόκε καὶ μακαρίζομεν.

Ἀντὶ τοῦ Ἀμώμου, τὸν Πολυέλεον, μεθ᾿ ὃν τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ Ἤχου καὶ τὸ Κάθισμα τῶν Ἁγίων.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Προφητῶν θεηγόρων τὸ θεῖον σύστημα, Ἀποστόλων χορεία ἡ θεοσύλλεκτος, Ἱεράρχαι τοῦ Χριστοῦ καὶ θεῖοι Μάρτυρες, σὺν θεοφόροις Ἀσκηταῖς, Παλαιστίνης οἱ πυρσοί, Σιὼν δὲ ἁγίας δόξα, ὑπὲρ ἡμῶν δυσωπεῖτε, Χριστὸν τὸν μόνον πολυέλεον.

Θεοτοκίον.

Ἀπειράνδρως τεκοῦσα τὸν Ὑπερούσιον, ἐν μορφῇ τῇ βροτείᾳ ἀναλλοιώτως Ἁγνή, τὴν οὐσίαν τοῦ Ἀδὰμ τῆς πάλαι πτώσεως, ἐξ ἧς πέπτωκε χαρᾶς, καὶ ζωῆς τῆς ἀληθοῦς, ἀνύψωσας Θεοτόκε· διό σε δοξολογοῦμεν, ὡς σωτηρίας ἡμῶν πρόξενον.



Τὰ Ἀντίφωνα. Ἦχος α΄.

Ἐν τῷ θλίβεσθαί με εἰσάκουσόν μου τῶν ὀδυνῶν, Κύριε σοι κράζω.

Τοῖς ἐρημικοῖς ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρί, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν τῇ Τριάδι Μονοκρατορίᾳ.

Ἀντίφωνον β΄.

Εἰς τὰ ὄρη τῶν σῶν, ὕψωσάς με νόμων· ἀρεταῖς ἐκλάμπρυνον ὁ Θεὸς ἵνα ὑμνῶ σε.

Δεξιᾷ σου χειρὶ λαβὼν σὺ Λόγε, φύλαξόν με, φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἡ κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρῶτον· ἰσοσθενὲς γὰρ ἐστι Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Ὁδεύσωμεν εἰς τὰς αὐλὰς τοῦ Κυρίου, εὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαβίδ, φόβος μέγας· ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων κριθήσονται ἅπασαι αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν· Μονὰς γὰρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ' οὐ προσώποις.

Προκείμενον.

Νῦν ἀναστήσομαι, λέγει Κύριος, θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.

Στίχ. Τὰ λόγια Κυρίου ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ κεκαθαρμένον ἑπταπλασίως.

Πᾶσα πνοή... Εὐαγγέλιον Ἑωθινὸν β΄.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι... ὁ Ν΄ ψαλλόμενος, ἐν ᾧ γίνεται ἡ προσκύνησις τοῦ Εὐαγγελίου.

Δόξα. Ἦχος β΄.

Ταῖς τῶν Ἀποστόλων...

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου...

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες, ὁ Ἀναστάσιμος καὶ τῶν Ἁγίων οἱ δύο.



**Κανὼν Ἀναστάσιμος.**

**Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.**

» Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ
» δεδόξασται· αὕτη γὰρ Ἀθάνατε, ὡς πενσθε-
» νὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυ-
» θοῦ καινουργήσασα.

Ὁ χερσὶν ἀχράντοις ἐκ χοός, θεουργικῶς κατ' ἀρχὰς διαπλάσας με, χεῖρας διεπέτασας, ἐν τῷ Σταυρῷ ἐκ γῆς ἀνακαλούμενος, τὸ φθαρέν μου σῶμα, ὃ ἐκ Παρθένου προσείληφας.

Νέκρωσιν ὑπέστη δι' ἐμέ, καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν, ὁ ἐμπνεύσει θείᾳ ψυχήν μοι ἐνθείς, καὶ λύσας αἰωνίων δεσμῶν, καὶ συναναστήσας, τῇ ἀφθαρσίᾳ ἐδόξασε.

Θεοτοκίον.

Χαῖρε ἡ τῆς Χάριτος πηγή· χαῖρε ἡ κλίμαξ καὶ πύλη οὐράνιος, χαῖρε ἡ λυχνία καὶ στάμνος χρυσῆ, καὶ ὄρος ἀλατόμητον, ἡ τὸν Ζωοδότην, Χριστὸν τῷ κόσμῳ κυήσασα.

Κανὼν πρῶτος τῶν Ἁγίων οὗ ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις.

«Γερασίμου».

Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀδὰμ τὸν Προπάτορα, πάντων ἀνθρώπων τιμήσωμεν, σὺν τούτῳ γεραίροντες, καὶ Ἀβραὰμ τὸν κλεινόν, καὶ τοὺς δώδεκα, ἐκ τούτου Πατριάρχας, καὶ ἅπαντα Δίκαιον, ἐν νόμῳ λάμψαντα.

Μωσῆς ὁ θεόκριτος, καὶ Ἀαρὼν ὁ θεόληπτος, καὶ Νῶε ὁ δίκαιος, καὶ Ἡσαΐας ὁμοῦ, Ἰεζεκιήλ, σὺν τῷ Ἱερεμίᾳ, Δανιὴλ ὁ ἔνδοξος, ὕμνοις τιμάσθωσαν.

Ἰὼβ τὸν θεσπέσιον, καὶ Ἠλιοὺ τὸν πυρίπνοον, ἅμα τὸν πατρόθεον, Δαβὶδ τιμήσωμεν, καὶ τοὺς δώδεκα, θεοειδεῖς Προφήτας, τοὺς κόσμῳ κηρύξαντας, Χριστοῦ τὴν σάρκωσιν.

Ὡς πάντων ὑπέρτερος, ὁ Βαπτιστής τε καὶ Πρόδρομος, ὑμνείσθω τοῖς ᾄσμασι, σὺν τοῖς τοκεῦσιν αὐτοῦ, καὶ σὺν ἅπασι Προφήταις καὶ Δικαίοις, τοῖς νόμῳ ἐκ λάμψασι, βίου λαμπρότητι.

Θεοτοκίον.

Γεννήσασα Πάναγνε, ὑπερφυῶς τὸν Θεάνθρωπον, παρθένος διέμεινας, καὶ μετὰ τόκον φρικτόν· σὲ γὰρ Δίκαιοι, ἐν νόμῳ καὶ Προφῆται, ἐν τύποις ἐκήρυξαν, καὶ προκατήγγειλαν.

Κανὼν δεύτερος φέρων ὁμοίως ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις. «Γερασίμου».

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Χριστοῦ Προφῆται καὶ σοφοὶ Ἀπόστολοι, καὶ Ἱεράρχαι κλεινοί, καὶ Μαρτύρων δῆμος ὁ ἀκαταγώνιστος, καὶ Ὅσιοι θεόληπτοι, οἱ τὴν Γῆν τὴν ἁγίαν, ἔργοις ἁγίοις λαμπρύναντες, χάριν ἡμῖν θείαν αἰτήσασθε.

Πέτρον καὶ Παῦλον καὶ Ματθαῖον μέλψωμεν, σὺν Ἰωάννῃ ὁμοῦ Λουκᾶν τε καὶ Μᾶρκον, Σίμωνα Ἰάκωβον, Βαρθολομαῖον Φίλιππον, καὶ Θωμᾶν καὶ Ἰούδαν, ὡς Ἀποστόλους καὶ κήρυκας, τοῦ Εὐαγγελίου τῆς χάριτος.

Οἱ Ἑβδομήκοντα Χριστοῦ Ἀπόστολοι, ὑμνολογείσθωσαν, καὶ Σιὼν ὁ πρῶτος, ἱερὸς Ἐπίσκοπος, Ἰάκωβος σὺν τούτῳ δέ, Συμεὼν ὁ θεόφρων, καὶ σὺν Μοδέστῳ Σωφρόνιος, ἅμα Ζαχαρίας Ἀλέξανδρος.



Ὁ θεοφόρος μέγιστος Εὐθύμιος, καὶ ὁ Θεόκτιστος, καὶ ὁ Χοζεβίτης Ὅσιος Γεώργιος, ὁ θεῖος Θεοδόσιος, ἀρχηγὸς Κοινοβίων, καὶ Σάββας καὶ ὁ Γεράσιμος, ὁ ἐν Ἰορδάνῃ τιμάσθωσαν.

Θεοτοκίον.

Γνώμην εὐθεῖαν Μαριὰμ ἡ σύγγονος, τοῦ Μωϋσέως Ἁγνή, καὶ ἡ Θεοδότη, μήτηρ ἡ καλλίγονος, τῶν Ἀναργύρων ἔχουσαι, διαφόροις ἐν χρόνοις, τὸν σὸν Υἱὸν ἐθεράπευσαν, ὧν λιταῖς ἡμᾶς Κόρη φύλαττε.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου...

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

» Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσ-
» θένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμε-
» νος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι·
» Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης
» φιλάνθρωπε.

Θεός μου ὑπάρχων ἀγαθέ, πεσόντα κατῳκτείρησας, καὶ καταβῆναι πρός με ηὐδόκησας, ἀνύψωσάς με διὰ σταυρώσεως, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ τῆς δόξης Κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόστατος Χριστέ, ὑπάρχων καὶ φθαρέντα με, ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος, εἰς χοῦν θανάτου καταβὰς Δέσποτα, τὸ θνητὸν διέρρηξας, καὶ νεκροὺς τριήμερος, ἀναστὰς ἀφθαρσίαν ἠμφίεσας.

Θεοτοκίον.

Θεὸν συλλαβοῦσα ἐν γαστρί, Παρθένε διὰ Πνεύματος, τοῦ Παναγίου ἔμεινας ἄφλεκτος· ἐπεί σε βάτος τῷ νομοθέτῃ Μωσῇ, φλεγομένη ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

Τῶν Ἁγίων. Τοὺς σοὺς ὑμνολόγους.

Γεώργιον τὸν Τροπαιοφόρον, οὗ Λύδδα ὡς θεῖον θησαυρόν, τὸ σῶμα κατεπλούτησε, ὁμοῦ καὶ Ἀναστάσιον, τὸν Πέρσην μακαρίσωμεν, ὡς στρατιώτας τῆς πίστεως.

Ἀββάδας Μονῆς Ἁγίου Σάββα, ὁμοῦ τε Σινᾶ καὶ Ραϊθώ, οὓς ξίφεσιν ἀπέκτειναν, βαρβάρων τὰ συστήματα, ὡς Μάρτυρας τιμήσωμεν, Χριστοῦ τοῦ πάντων Δεσπόζοντος.

Θεῖος Ξενοφῶν σὺν τῇ συμβίῳ, ὁμοῦ καὶ τοῖς τέκνοις ἑαυτῶν, Τιμόθεος Ἀπόστολος, Ἀκύλας τε καὶ Πρίσκιλλα, καὶ Πάμφιλος ὁ ἔνδοξος, σὺν τοῖς συνάθλοις τιμάσθωσαν.

Ὕμνοις Συμεὼν τὸν θεοδόχον, καὶ Ἄνναν ὁμοῦ τὴν Φάνουήλ, Πορφύριον Φιλήμονα, ἐν Γάζῃ διαπρέψαντας, καὶ θεῖον Ἀναστάσιον, Σιὼν ποιμένα τιμήσωμεν.

Θεοτοκίον.

Ἐπλήσθη ναμάτων τοῦ Υἱοῦ σου, ἐν φρέατι τῷ τοῦ Ἰακώβ, ἡ Φωτεινὴ καὶ ἤθλησε, σὺν τοῖς οἰκείοις ἅπασι, Παρθένε Θεονύμφευτε, ὑμνολογοῦσα τὴν δόξαν σου.



Δεύτερος. Ὁ στερώσας κατ' ἀρχάς.

Ὁ θεῖος Μαρτινιανός, Δωρόθεος Ἰωάννης, Βαρσανούφιος ὁ πλήρης Σοφίας, καὶ ὁ Κόνων ὁ στερρός, ὡς ἀσκηταὶ θεόφρονες, ὑμνείσθωσαν συμφώνως, ὡς ἀρετῶν καταγώγια.

Προκόπιον τὸν ἱερόν, σὺν τῷ κλεινῷ Βασιλείῳ, Ἰωάννην καὶ Λεόντιον ἅμα, τοὺς ποιμένας τῆς Σιών, καὶ Ἰωάννην μέλψωμεν, τὸν γράψαντα πανσόφως, τὴν θαυμαστὴν ὄντως Κλίμακα.

Κοσμᾶν τὸν θεῖον ποιητήν, Δαμασκηνὸν Ἰωάννην, καὶ τὸν μέγαν καὶ Γραπτὸν Θεοφάνην, καὶ Ἀνδρέαν τὸν σοφόν, τῆς Κρήτης θεῖον Πρόεδρον, τιμήσωμεν συμφώνως, οἷα κιθάρας τοῦ Πνεύματος.

Κύριλλος ὁ θεοειδής, ποιμὴν Σιὼν τῆς ἁγίας, καὶ λαμπτὴρ Ἀρεθουσίων ὁ Μᾶρκος, καὶ ὁ θεῖος Ζωσιμᾶς, ὃς τὴν Ὁσίαν εὕρατο, Μαρίαν ἐν ἐρήμῳ, ᾀσματικῶς ἐπαινείσθωσαν.

Θεοτοκίον.

Ἐκ τῆς Εἰκόνος σου Ἁγνή, δύναμιν θείαν λαβοῦσα, ἐν ἐρήμῳ Ἰορδάνου προσῆλε, καὶ ἐβίωσε στερρῶς, Παρθένε ὥσπερ ἄσαρκος, Μαρία ἡ Ὁσία, ἡ ἐξ Αἰγύπτου βλαστήσασα.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους...

Τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς Κυριακῆς, καὶ εἶτα τὸ Κάθισμα τῶν Ἁγίων.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸ θεοσύλλεκτον, Ἁγίων σύστημα, τοὺς διαπρέψαντας, ἁγίοις σκάμμασι, καὶ καθαρότητι ζωῆς, καὶ θαύμασι παραδόξοις, πάντες μακαρίσωμεν, οὓς τῷ κόσμῳ προβάλλεται, γῆ ἡ Παλαιστίνειος, ὡς φωστῆρας τῆς χάριτος· αὐτοὶ γὰρ ἐκτενῶς δυσωποῦσι, δοῦναι ἡμῖν πταισμάτων λύσιν.

Θεοτοκίον.

Τὸν ὑπερούσιον, Θεὸν κυήσασα, ἐν ὕλῃ σώματος, δι' ἀγαθότητα, καινοποιήσαντα ἡμῶν, τὴν φύσιν παλαιωθεῖσαν, μόνη Ἀειπάρθενε, τὴν ψυχήν μου καινούργησον, συντριβεῖσαν πάθεσι, καὶ πολλοῖς πλημμελήμασι, καὶ σῶσον με Ἁγνὴ Θεοτόκε, τὸν εὐλαβῶς σοι προσιόντα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Ὄρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προ-
» βλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλ-
» μοῖς, ἐξ οὗ ἐξελεύσεται, τοῦ Ἰσραὴλ προανεφώνει
» τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τίς οὗτος Σωτήρ, ὁ ἐξ Ἐδὼμ ἀφικόμενος, στεφηφορῶν ἐξ ἀκανθῶν, πεφοινιγμένος τὴν στολήν, ἐν ξύλῳ κρεμάμενος; Τοῦ Ἰσραὴλ οὗτος ὑπάρχει ὁ Ἅγιος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ἴδετε λαοί, τῶν ἀπειθῶν καὶ αἰσχύνθητε· ὃν ὡς κακοῦργον γὰρ ὑμεῖς, ἀναρτηθῆναι ἐν Σταυρῷ Πιλάτῳ ᾐτήσασθε, φρενοβλαβῶς, θανάτου λύσας τὴν δύναμιν, θεοπρεπῶς ἐξανέστη τοῦ μνήματος.



Θεοτοκίον.

Ξύλον σε Παρένε, τῆς ζωῆς ἐπιστάμεθα· οὐ γὰρ τῆς βρώσεως καρπός, θανατηφόρος τοῖς βροτοῖς, ἐκ σοῦ ἀνεβλάστησεν, ἀλλὰ ζωῆς τῆς ἀϊδίου ἀπόλαυσις, εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

Τῶν Ἁγίων. Ὁ καθήμενος ἐν δόξῃ.

Ὕμνον ἔνθεον προσᾴδω, Γρηγορίῳ τῷ μάκαρι, τῷ ἐκ τοῦ Σιναίου, καὶ τὸν Σιναΐτην Γεώργιον, ὑμνολογῶ καὶ τὸν θεῖον Ἀναστάσιον, ὁμοδίαιτον, τούτοις ὀφθέντα ἐν ἅπασι.

Μαριάμνην Ἀποστόλου, τοῦ Φιλίππου τὴν σύγγονον, Ἀνανίαν Πέτρον, Γόρδιον καὶ Παῦλον τοὺς Μάρτυρας, Οὐαλεντίνην καὶ δῆμον τὸν ἐξάριθμον, τὸν ἐκλάμψαντα, ἐκ τῆς Αἰγύπτου τιμήσωμεν.

Κηπουρὸς ὁ θεῖος Κόνων, ὡς ἀθλήσας δεδόξασται, τούτῳ συντιμάσθω, Ἰουλιανὴ ἡ θεόνυμφος, ὁμοῦ καὶ Παῦλος καὶ Μάρτυρες δεκάριθμοι, οἱ ἀθλήσαντες, ἐν τῇ Φοινίκῃ στερρότατα.

Ὀκτὼ Μάρτυρες ἐν πόλει, Καισαρείας ἐνήθλησαν, καὶ σὺν Ἀγαπίῳ, πέντε Ἀθληταὶ ἠγωνίσαντο, καὶ ἐν Ἀσκάλωνι γύναια ἠνδρίσαντο, καὶ νεάνιδες, σὺν Ἱερεῦσι θεόφροσι.

Θεοτοκίον.

Ῥάβδος ὤφθης Θεοτόκε, ἀποτίστως βλαστήσασα, ὥσπερ Ἠσαΐας, ὁ θεοπτικώτατος ἔφησε, ζωῆς τὸ ἄνθος Χριστὸν τὸν παντοδύναμον, ὃν ἱκέτευε, σῶσαι ἡμᾶς Κόρη Ἄχραντε.

Δεύτερος. Σύ μου ἰσχύς.

Δυάς σεπτή, τῶν Ἀθλητῶν ἐν Ἀσκάλωνι ἠγωνίσθη, κατὰ τοῦ ἀλάστορος, καὶ Θεοδώρα ἡ εὐκλεής, καὶ ὁ Νεομάρτυς, ὁ ἐκ τῆς Κύπρου Γεώργιος, ὁμοῦ καὶ Ἰωάννης, μαθητὴς Γρηγορίου, τοῦ Ὁσίου ἀσκήσεως σκάμμασιν.

Ὕμνοις τιμῶ, τὸν θεηγόρον Ἀλέξανδρον, ποιμενάρχην, τῆς Σιὼν περίδοξον, καὶ Κωνσταντῖνον τὸν εὐκλεῆ, μέγαν Βασιλέα, καὶ τὴν Ἑλένην τὴν ἄνασσαν, ὁμοῦ καὶ αὐταδέλφους, Ἀβέρκιον Ἑλένην, καὶ τὴν Θεοδοσίαν τοὺς Μάρτυρας.

Ἡ τοῦ Κλωπᾶ, Μαρία ὑμνολογείσθω μοι, καὶ Ἀλφαῖος, ὁ Χριστοῦ Ἀπόστολος, καὶ τοῦ Λαζάρου αἱ ἀδελφαί, Μάρθα καὶ Μαρία, καὶ πέντε Παρθενομάρτυρες, Μαρία τε καὶ Μάρθα, Βερερία Κυρία, καὶ Μαρκία Κυρίου τὰ σφάγια.

Ἐλισσαιέ, καὶ ὁ Ἀμὼς οἱ θεόληπτοι, καὶ Βαρνάβας, ὁ Χριστοῦ Ἀπόστολος, καὶ Φουρτουνάτος Ἀχαϊκός, Στεφανᾶς ὁ θεῖος καὶ ὁ Θαδδαῖος ὁ πάντιμος, ὁμοῦ σὺν τῷ Ὁσίῳ, σοφῷ Ἱερωνύμῳ, ἀνυμνείσθωσαν θείοις ἐν ᾄσμασι.

Θεοτοκίον.

Ῥώμην Ἁγνή, ἐκ τοῦ Υἱοῦ σου λαμβάνουσα, τοῦ ταφέντος, καὶ νεκροὺς ἐγείραντος, τῇ Ἀναστάσει τῇ ἑαυτοῦ, Μυροφόρος ὤφθη, ἡ Ἰωάννα ἡ πάνσεμνος· καὶ νῦν ἐν τῇ ἀλήκτῳ, βασιλείᾳ κραυγάζει· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν...



Ὠδὴ ε΄. Ὁ Εἱρμός.

» Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χρι-
» στέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου τοῦ κό-
» σμου πέρατα, τὰς καρδίας φώτισον φωτί, τῆς σῆς
» θεογνωσίας, τοὺς Ὀρθοδόξως ὑμνοῦντάς σε.

Τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν καὶ Κύριον, Ἰουδαῖοι διὰ ξύλου Σταυροῦ ἐθανάτωσαν· ἀλλ᾽ αὐτὸς ὡς πρόβατα νεκρούς, ἐν Ἅδῃ τεθαμμένους, κράτους θανάτου ἐρρύσατο.

Τῷ Σταυρῷ σου τὴν εἰρήνην εὐαγγελισάμενος, καὶ κηρύξας αἰχμαλώτοις Σωτὴρ μου τὴν ἄφεσιν, τὸν κρατοῦντα ᾔσχυνας Χριστέ, γυμνὸν ἠπορημένον, δείξας τῇ θείᾳ ἐγέρσει σου.

Θεοτοκίον.

Τὰς αἰτήσεις τῶν πιστῶς αἰτουμένων Πανύμνητε, μὴ παρίδῃς ἀλλὰ δέχου καὶ ταύτας προσάγαγε, τῷ Υἱῷ σου Ἄχραντε Θεῷ, τῷ μόνῳ εὐεργέτῃ· σὲ γὰρ προστάτιν κεκτήμεθα.

Τῶν Ἁγίων. Ἐξέστη τὰ σύμπαντα.

Νομίμως ἐνήθλησαν, Μάρτυρες ἑβδομήκοντα, ἐν τῇ Σκυθοπόλει θείῳ πόθῳ, καὶ ὁ Βαΐωρ σὺν Κωνστανίνῳ ὁμοῦ, καὶ Οὐαλεντίνη καὶ Θεή, καὶ Παῦλος οἱ ἔνθεοι, καὶ θεόθεν ἐστέφθησαν.

Προκόπιον μέλψωμεν, κλεινὸν Μεγαλομάρτυρα, σὺν Θεοδοσίᾳ τῇ τεκούσῃ, καὶ Ἀντιόχῳ καὶ Νικοστράτῳ Ἀβδᾶν, καὶ Συγκλητικὰς τὰς εὐκλεεῖς, Γυναῖκας τὰς δώδεκα, ἀθλησάσας στερρότατα.

Σιὼν ὤφθη πρόεδρος, θεῖος Ἰουβενάλιος, καὶ ποιμὴν Θεόδωρος Ἐδέσσης, καὶ ἡ Μαρία Μαγδαληνὴ τοῦ ɔιστοῦ, γέγονε Μαθήτρια θερμή, καὶ ἡ Βερονίκη δέ, ἣν Χριστὸς ἐξιάσατο.

Νικάνωρ καὶ Πρόχορος, Τίμων καὶ Παρμενᾶς ὁμοῦ, Σίλας καὶ Σιλουανός τε, Κρήσκης Ἀκύλας Ἐπαινετὸς οἱ κλεινοί, σὺν τῷ Ἀνδρονίκῳ τῷ σοφῷ, ὡς Χριστοῦ Ἀπόστολοι, κατὰ χρέος τιμάσθωσαν.

Θεοτοκίον.

Ἀφράστως κυήσασα, τὸν Ποιητὴν τῆς κτίσεως, σάρκα ἐκ σοῦ Κόρη προσλαβόντα, τὰ τῆς σαρκός μου πάθη θεράπευσον, καὶ φῶς θεῖον δίδου μοι Ἁγνή, ὅπως τοῦ ἀλάστορος, ἀποφεύγω τὰ σκάνδαλα.

Δεύτερος. Ἵνα τί με ἀπώσω;

Ἰωσὴφ ὁ εὐσχήμων, ὁ Χριστὸν κηδεύσας καινῷ ἐν μνήματι, σὺν τῷ Νικοδήμῳ, τῷ ἐλθόντι νυκτὸς πρὸς τὸν Κύριον, ἅμα ἡ Σαλώμη, ἡ Μυροφόρος καὶ Ματθίας, ἀνυμνείσθωσαν θείοις ἐν ᾄσμασι.

Τοὺς ἑπτὰ Μακκαβαίους, καὶ Σολομονὴν τὴν τούτους κυήσασαν, σὺν Ἐλεαζάρῳ, καὶ τὸν θεῖον τιμήσωμεν Νάρκισσον, Ἱεροσολύμων, τὸν ποιμενάρχην καὶ Μιχαίαν, τὸν Προφήτην συμφώνως γεραίροντες.

Σὺν Κοδράτῳ καὶ Παύλῳ, Ἰουλιανὴν ὁμοῦ καὶ Στρατόνικον, καὶ σὺν Ἀκακίῳ, τὸν Τιμόθεον καὶ τὸν Ἀγάπιον, Θέκλαν τε τὴν θείαν, καὶ Εὐδοκίαν τὴν ἁγίαν, μακαρίσωμεν πάντες τὴν ἄνασσαν.



Σαμουὴλ ὁ Προφήτης, Σέριδος ὁ Ὅσιος καὶ ὁ Δωρόθεος, σὺν τῷ Δοσιθέῳ, Πασσαρίων ὁ θεῖος τιμάσθωσαν, ἅμα σὺν Θαδδαίῳ, καὶ Εὐτυχεῖ τε καὶ τῷ Τίτῳ, οἱ Χριστοῦ θεηγόροι Ἀπόστολοι.

Θεοτοκίον.

Ἀνδρωθεῖσαι τῷ πόθῳ, τοῦ ἐκ σοῦ ἐκλάμψαντος Παρθένε Ἄχραντε, οἱ ἑπτὰ Παρθένοι, ἐν τῇ Γάζῃ στερρῶς ἠγωνίσαντο, καὶ τοῦ μαρτυρίου, ἀναδησάμεναι τὸ στέφος, θεωροῦσι τὴν ἄφραστον δόξαν σου.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα...

Ὠδὴ στ΄. Ὁ Εἱρμός.

» Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος· οὐκ ἔστιν ὁ
» ρυόμενος· ἐλογίσθημεν ὡς πρόβατα σφα-
» γῆς· σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ
» ἰσχύς, τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τῷ πταίσματι τοῦ Πρωτοπλάστου Κύριε, δεινῶς ἐτραυματίσθημεν· τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ, ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης Χριστέ· σὺ γὰρ ἰσχύς, τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Ἀνήγαγες ἡμᾶς ἐν Ἅδου Κύριε, τὸ κῆτος χειρωσάμενος, τὸ παμφάγον Παντοδύναμε τῷ σῷ, κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν· σὺ γὰρ ζωή, καὶ φῶς ὑπάρχεις καὶ ἡ Ἀνάστασις.

Θεοτοκίον.

Εὐφραίνονται ἐν σοὶ Παρθένε Ἄχραντε, τοῦ Γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαβόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν· σὺ γὰρ Ἁγνή, καὶ πρὸ τοῦ τόκου καὶ μετὰ γέννησιν.

Τῶν Ἁγίων. Τὴν θείαν ταύτην.

Τὸν Φινεὲς εὐφημήσωμεν, ὁμοῦ καὶ Ἐλεάζαρ τὸν δίκαιον, καὶ Ἰησοῦν τοῦ Ναυῆ, καὶ Ἑρμιόνην τὴν πάνσεμνον, Φιλίππου θυγατέρα, τὴν θεοτίμητον.

Οἱ εὐκλεεῖς θεοπάτορες, Ἰωακεὶμ καὶ Ἄννα ὑμνείσθωσαν, καὶ ὁ Θεότιμος, σὺν Θεοδούλῳ Κορνήλιος, ὁμοῦ καὶ Εὐσεβίῳ, οἱ Χριστομάρτυρες.

Κλήμης Λουκᾶς καὶ Ἀρίσταρχος, καὶ Μᾶρκος Ἀπελλῆς σὺν τῷ Ζήνωνι, ὑμνολογείσθωσαν, σὺν τῷ Κοδράτῳ τῷ μάκαρι, Ἀπόστολοι Κυρίου, οἱ ἐνθεώτατοι.

Πηλεὺς καὶ Νεῖλος οἱ πάντιμοι, Ἠλίας καὶ κλεινὸς Παρτεμούθιος, καὶ οἱ πεντήκοντα, ἐκ Παλαιστίνης τιμάσθωσαν, ὁμοῦ σὺν Αἰγυπτίοις, ἑκατὸν Μάρτυσι.

Θεοτοκίον.

Σαρκὸς φανεὶς ὁμοιώματι, ἐκ σοῦ ὁ Ὑπερούσιος Κύριος, Παρθένε Ἄχραντε, χοροὺς Ἁγίων συνήγαγε, τὸ πάθος μιμουμένων, αὐτοῦ τὸ ἄχραντον.

Δεύτερος. Τὴν δέησιν.

Ὁ θεῖος, Βαροὺχ φαιδρῶς ἀνυμνείσθω, Ἰωνᾶς τε τοῦ Θεοῦ οἱ Προφῆται, Κυριακὸς ἐν Ὁσίοις ὁ μέγας, καὶ ὁ Χαρίτων καὶ Κόπρις οἱ Ὅσιοι, καὶ ὁ θεόφρων Ἰωνᾶς, τῶν Γραπτῶν ὁ πατὴρ ὁ μακάριος.

Συμφώνως, σὺν Εὐσεβίῳ Νεστάβῳ, καὶ τῷ Ζήνωνι ὁ ἅγιος Νέστωρ, οἱ τοῦ Χριστοῦ στρατιῶται γενναῖοι, καὶ ἑκατὸν σὺν αὐτοῖς καὶ πεντήκοντα, ἐκ Παλαιστίνης Ἀθληταί, εὐφημείσθωσαν θείοις ἐν ᾄσμασιν.



Ἰάκωβον, Ἀνανίαν Ματθίαν, σὺν Φιλίππῳ καὶ Λουκᾷ τῷ πανσόφῳ, Κλεόπαν Στάχυν καὶ θεῖον Ἀμπλίαν, καὶ Ἀπελλῆν Οὐρβανόν τε καὶ Νάρκισσον, καὶ Ἀριστόβουλον ὁμοῦ, τοὺς Χριστοῦ Ἀποστόλους τιμήσωμεν.

Τὸν θεῖον, νῦν Ὠσηὲ μακαρίζω, σὺν αὐτῷ καὶ Ἰωὴλ τοὺς Προφήτας, καὶ Ταβιθᾶν ἣν ἀνέστησε Πέτρος, σὺν τῷ Λαζάρῳ τῷ φίλῳ τοῦ Κτίσαντος, ὃν διὰ λόγου ὁ Χριστός, τεταρταῖον ἐκ τάφου ἀνέστησε.

Θεοτοκίον.

Σωτῆρα, καὶ Ποιητὴν τῶν ἁπάντων, τὸν Υἱόν σου καὶ Θεὸν Θεοτόκε, Πρόκλα εἰδυῖα γυνὴ τοῦ Πιλάτου, ὑπὲρ αὐτοῦ ταῖς λαμπάσι συμφλέγεται, ἡ Ἄννα ἡ Κυριακοῦ, ἐναθλήσασα μήτηρ στερρότατα.

Καταβασία. Τὴν θείαν ταύτην...

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἑορτάζει σήμερον, ἡ ἐν Σιὼν Ἐκκλησία, ἱερὰν πανήγυριν, τῶν θεοφόρων Ἁγίων, πάντων μέν, οὓς Παλαιστίνη κόσμῳ προβάλλει, τούτους δέ, μιᾷ ἡμέρᾳ ὁμοῦ τιμῶσα, μεγαλύνει τὸν Σωτῆρα, τὸν τοὺς Ἁγίους αὐτοῦ δοξάζοντα.

Ὁ Οἶκος.

Ὡς ἀστέρες τῷ κόσμῳ πολύφωτοι, εὐσεβείας τὸ φέγγος ἀστράπτοντες, οἱ ἐκ Παλαιστίνης ἀνίσχουσιν Ἅγιοι ἅπαντες, καὶ τὸ σκότος τῆς πλάνης ἐλαύνοντες, πρὸς αἶνον καὶ δόξαν Θεοῦ, πᾶσαν τὴν Ἐκκλησίαν διεγείρουσιν· οὗτοι γὰρ διαφόροις καιροῖς, ποικίλοις εἴδεσιν

ἀρετῆς καὶ ἀγῶσι καὶ ἄθλοις διαπρέψαντες, ἀρνησάμενοι ἑαυτούς, Χριστῷ ἠκολούθησαν· καὶ τῆς θείας ἀγάπης τὸ κάλλος ἐκφαίνοντες, τοῦ Σωτῆρος τὸ πάθος καὶ τὴν Ἀνάστασιν, οἰκείοις πόνοις καὶ πάθεσιν ἐδόξασαν, καὶ θαυμαστῶς ἐδοξάσθησαν, τῇ πλουτοποιῷ τοῦ Παρακλήτου ἐνεργείᾳ καὶ χάριτι, καὶ πᾶσι παρέχουσι τὰ πρὸς σωτηρίαν αἰτήματα, πανταχοῦ προφθάνοντες, ὡς τοῦ Κυρίου μιμηταὶ γνησιώτατοι. Ἀλλ' ὦ Προφῆται καὶ Ἀπόστολοι, Μάρτυρες, Ἱεράρχαι καὶ Ὅσιοι, οἱ γνωστοὶ καὶ ἀνώνυμοι, οἱ τῆς ἁγίας Σιὼν φαεινότατοι πυρσοὶ καὶ πρόβολοι, καὶ ἱερὰ καυχήματα καὶ ἐρείσματα, ὑπὲρ αὐτῆς καὶ παντὸς τοῦ κόσμου τὸν Σωτῆρα ἀεὶ δυσωπεῖτε, τὸν τοὺς Ἁγίους αὐτοῦ δοξάζοντα.

Συναξάριον.

Πρῶτον τὸ τοῦ Μηναίου καὶ εἶτα τὸ ἑξῆς:

Τῇ αὐτῇ ἡμέρᾳ, β' Κυριακῇ τοῦ Ματθαίου, Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν Παλαιστίνῃ διαλαμψάντων Ἁγίων.

Στίχ. Σιὼν μεγαλύνθητι ὁμοῦ τιμῶσα
Τοὺς ἐν Παλαιστίνῃ λάμψαντας Ἁγίους.
Χορὸν θεοειδῆ Σιὼν μήτηρ Ἐκκλησιῶν ἅμα ᾄδει.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Σὲ νοητήν, Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ
» πιστοί· ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυ-
» ψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου
» ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπε-
» ρένδοξος.



Ἔφριξε γῆ, ἀπεστράφη ἥλιος, καὶ συνεσκότασε τὸ φῶς, διερράγη τὸ τοῦ ναοῦ, θεῖον καταπέτασμα, πέτραι δὲ ἐσχίσθησαν· διὰ Σταυροῦ γὰρ ἦρται ὁ Δίκαιος, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σὺ γεγονώς, ὡσεὶ ἀβοήθητος, καὶ τραυματίας ἐν νεκροῖς, ἑκουσίως τὸ καθ' ἡμᾶς, ὁ ὑπερυψούμενος, πάντας ἠλευθέρωσας, καὶ κραταιᾷ χειρὶ συνανέστησας, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Χαῖρε πηγή, ἀειζώου νάματος· χαῖρε Παράδεισε τρυφῆς· χαῖρε τεῖχος τὸ τῶν πιστῶν· χαῖρε Ἀπειρόγαμε· χαῖρε ἡ παγκόσμιος χαρά, δι' ἧς ἡμῖν ἐξανέτειλεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τῶν Ἁγίων. Οὐκ ἐλάτρευσαν.

Ὕμνοις μέλψωμεν, Κυριακὸν τὸν πρόεδρον, Σιὼν καὶ Μάρτυρα, καὶ Σιλβανὸν τὸν σεπτόν, μέγαν Ἱλαρίωνα, καὶ Πελαγίαν σεμνήν, Ἰωάννην τε, ὁμοῦ καὶ τὸν Γεώργιον, τοὺς Ὁσίους Χοζεβίτας.

Μακαρίσωμεν, Λογγῖνον ἑκατόνταρχον, καὶ τοὺς ἀθλήσαντας, ὁμοῦ σὺν τούτῳ στερρῶς, Ἐλπίδιον Μάρκελλον, καὶ τὸν Εὐστόχιον, καὶ τὸν Ὅσιον, καὶ Σαββαΐτην Στέφανον, ὡς θεράποντας Κυρίου.

Ἑρμᾶν Γάϊον, Πατρόβαν καὶ Φιλόλογον, Λῖνον καὶ Ἔραστον, Ρωδίωνα Ὀλυμπᾶν, Σωσίπατρον Κούαρτον, καὶ τὸν Φιλήμονα, θεῖον Ἄρχιππον, Ἀπφίαν καὶ Ὀνήσιμον, ἀνυμνῶ τοὺς Ἀποστόλους.

**Ο**῾ πρωτόκλητος, ᾿Ανδρέας ὁ ᾿Απόστολος, ἀνευφημείσθω μοι, καὶ ᾿Αχιὰ ᾿Αβδιού, Προφῆται οἱ ἔνθεοι τοῦ Παντοκράτορος, καὶ Προκόπιος, τὸ Παλαιστίνης βλάστημα, καὶ στερρὸς ἐν ᾿Αθλοφόροις.

Θεοτοκίον.

**Ι**῾ερόφθογγοι, Προφῆται προκατήγγειλαν, τοῦ θείου τόκου σου, τὰ μεγαλεῖα ῾Αγνή· σὺ γὰρ ἡμῖν τέτοκας, τὸν ἀναπλάσαντα, ἐκ τοῦ πτώματος, ἡμῶν τὴν φύσιν ῎Αχραντε, διὰ πλοῦτον εὐσπλαγχνίας.

Δεύτερος. Παῖδες ῾Εβραίων.

**Χ**αῖρε σοφὴ Αἰκατερίνα, νύμφη ἄμωμε καὶ Μάρτυς τοῦ Κυρίου, Ρωμανὲ ᾿Αθλητὰ ὁμοῦ σὺν τῷ Δομνίνῳ, καὶ Γαλακτίων ἔνδοξε, καὶ θεόφρον ᾿Επιστήμη.

**Μ**άρτυς Δωρόθεε Κυρίου, καὶ Θεόφιλε Τιμόθεε θεόφρον, δυσωπεῖτε Χριστόν, πταισμάτων ἡμῖν λύσιν, δοῦναι καὶ θεῖον ἔλεος, τοῖς ὑμᾶς ὑμνολογοῦσι.

**Μ**έλπω Θεότιμον ἐν ὕμνοις, καὶ Εὐψύχιον καὶ Σιλβανὸν τὸν Θεῖον, σὺν Παμφίλῳ ὁμοῦ, Καρτέριον γεραίρων ὡς τοῦ Κυρίου Μάρτυρας, καὶ γενναίους στρατιώτας.

**Υ**῞μνοις τιμάσθω Σοφονίας, καὶ Ναοὺμ ὁμοῦ καὶ ᾿Αββακοὺμ ὁ θεῖος, οἱ Προφῆται Θεοῦ, καὶ τῆς αὐτοῦ προνοίας, μύσται θεοειδέστατοι, δι᾿ ἀμέμπτου πολιτείας.

Θεοτοκίον.

**Ι**῎θυνον Κόρη τὴν ζωήν μου, τοῖς προστάγμασι Χριστοῦ τοῦ Βασιλέως, καὶ φωτὶ νοητῷ, καταύγασον τὸν νοῦν μου, ὡς φωτὸς τοῦ μέλλοντος, κοινωνήσω μετὰ τέλος.

Καταβασία. Οὐκ ἐλάτρευσαν.



᾿Ωδὴ η΄. ῾Ο Εἱρμός.

» **Ε**᾿ν καμίνῳ Παῖδες ᾿Ισραήλ, ὡς ἐν χωνευτη-
» ρίῳ τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυ-
» σοῦ, ἀπέστιλβον λέγοντες. Εὐλογεῖτε πάντα τὰ ἔργα,
» τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας
» τοὺς αἰῶνας.

**Ο**῾ βουλήσει ἅπαντα ποιῶν, ὁ καὶ μετασκευάζων, ἐκτρέπων σκιὰν θανάτου, εἰς αἰώνιον ζωήν, τῷ πάθει Λόγε Θεοῦ, σὲ ἀπαύστως πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

**Σ**ὺ καθεῖλες σύντριμμα Χριστέ, καὶ τὴν ταλαιπωρίαν, ἐν πύλαις καὶ ὀχυρώμασι τοῦ ῞Αδου, ἀναστὰς ἐκ τάφου τριήμερος. Σὲ ἀπαύστως πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

**Τ**ὴν ἀσπόρως καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας, τεκοῦσαν τὸν μαργαρίτην, τὸν πολύτιμον Χριστόν, ὑμνήσωμεν λέγοντες. Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τῶν ῾Αγίων. Παῖδας εὐαγεῖς.

**Σ**τέφανος ὁ θεῖος Πρωτομάρτυς, ὑμνείσθω ὡς τῶν Μαρτύρων ἀκροθίνιον, ᾿Απολλὼς Σωσθένης τε, Καῖσαρ ᾿Επαφρόδιτος, Κηφᾶς καὶ Τυχικὸς ὁμοῦ οἱ Χριστaπόστολοι, τιμάσθωσαν ὁμοῦ θείοις ὕμνοις, καὶ ὁ ᾿Ιωάννης, ῾Ησυχαστὴς ὁ θεῖος.

**Ι**῾εροσολύμων ποιμὴν ὤφθη, ᾿Αλέξανδρος ὁ ἀθλήσας καρτερώτατα, καὶ ὁ θεῖος Μόδεστος, ὁ πόνοις καὶ σκάμμασιν, ὀρθώσας τὰ συντρίμματα τῆς θυγατρὸς Σιών, ὑμνείσθωσαν κοιναῖς ὑμνῳδίαις, ἅμα καὶ ᾿Αγγαῖος, ὁ τοῦ Θεοῦ Προφήτης.

Ἤθλησαν Ἠλίας τε καὶ Πρόβος, καὶ Ἄρης καὶ ὁ Ζακχαῖος θείῳ ἔρωτι, Ἀλφειανὸς συνάμα τε, καὶ Χριστὸν ἐδόξασαν, μεθ' ὧν συνευφημείσθω μοι καὶ ὁ Θεόδωρος, ὁμαίμων τοῦ Γραπτοῦ Θεοφάνους, τῆς ὁμολογίας, συνήγορος ὁ μέγας.

Σχήματι ἀνδρῴῳ ἡ Σωσάννα, καὶ κλήσει ἀρρενωθεῖσα στερρῶς ἤθλησε, πόνοις δὲ ἀσκήσεως, ἡ Μελάνη ἔλαμψε, βουλῇ τῇ τοῦ Ἡρώδου δὲ αἱ δεκατέσσαρες, χιλιάδες, τῶν ἀκάκων νηπίων, ἤχθησαν Κυρίῳ, ὡς λογικαὶ θυσίαι.

Θεοτοκίον.

Μόνη τὸν Θεὸν ἀνερμηνεύτως, τεκοῦσα καὶ τὴν ἁγνείαν σου φυλάξασα, μετὰ τόκον ἄφραστον, Κόρη Μητροπάρθενε, ἐξ ἐμπαθῶν με λύτρωσαι λόγων καὶ πράξεων, καὶ δίδου μοι ἰσχὺν καὶ σοφίαν, τοῦ ἐχθροῦ γινώσκειν, τὰς τέχνας καὶ τὰς πάγας.

Δεύτερος. Ἑπταπλασίως κάμινον.

Οἱ τοῦ Χριστοῦ Προπάτορες, ἐπαξίως ὑμνείσθωσαν, οἱ τὴν θείαν τούτου σάρκωσιν προβλέψαντες, καὶ κόσμῳ κηρύξαντες, ὧν ῥίζα ὁ θεόληπτος, Ἀβραὰμ τυγχάνει, ὁ κληθεὶς οὐρανόθεν· αὐτῶν ταῖς ἱκεσίαις, ὦ Πανοικτίρμον Λόγε, τὴν Ἐκκλησίαν τήρει, ἐκ πάσης ἐπηρείας.

Ὑμνολογείσθω σήμερον, Δανιὴλ ὁ θεσπέσιος, ὡς Θεοῦ Προφήτης πλήρης θείου Πνεύματος, καὶ Παῖδες οἱ τρεῖς ὁμοῦ, τὴν φλόγα οἱ πατήσαντες, σὺν τῷ Ἀνανίᾳ, Μισαὴλ Ἀζαρίας, βοῶντας τῷ Κυρίῳ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.



Πάντες ὁμοῦ οἱ Δίκαιοι, καὶ Προφῆται οἱ ἔνθεοι, οἱ ἀπὸ αἰῶνος τὸν Θεὸν δοξάσαντες, ὡς τούτους ἱστόρησε, Ματθαῖος ὁ Ἀπόστολος, οἷα τοῦ Χριστοῦ, προκατιδόντες τὸν τόκον, τιμάσθωσαν ἀξίως, ὡς μεσῖται καὶ πρέσβεις, ἡμῶν πρὸς τὸν Σωτῆρα, καὶ πάντων εὐεργέτην.

Ὕμνοις τὸν Προφητάνακτα, νῦν Δαβὶδ μακαρίσωμεν, Ἰωσήφ τε ἅμα τῆς Παρθένου μνήστορα, πατὴρ ὃς νενόμισται, Χριστοῦ δι' ἀγαθότητα, σὺν τῷ Ἰακώβῳ, ἀδελφῷ κατὰ σάρκα, Χριστοῦ τοῦ σαρκωθέντος· ὑπηρέται γὰρ οὗτοι, ἐν τῇ αὐτοῦ σαρκώσει, ὤφθησαν θείᾳ νεύσει.

Θεοτοκίον.

Μετὰ σαρκὸς τὸν ἄσαρκον, Θεοτόκε κυήσασα, τῆς σαρκὸς τοὺς πόνους ἡμῶν ἀφαιρούμενον, καὶ πᾶσι παρέχοντα, χαρὰν τὴν ἀνεκλάλητον, Ἄχραντε Παρθένε, ἀθυμίας τὸ νέφος, ἐκ τῆς ψυχῆς μου λῦσον, καὶ θείας εὐφροσύνης, τὸν γλυκασμόν μοι βλῦσον, Ὑπερευλογημένη.

Καταβασία. Παῖδας εὐαγεῖς...

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη
» βάτος ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν,
» τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν
» τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως με-
» γαλύνωμεν.

Ὢ πῶς ὁ λαὸς ὁ ἄνομος, ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος, τὸν ἀλάστορα, καὶ ἀσεβῆ ἐδικαίωσε, τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, τὸν Κύριον τῆς δόξης! ὃν ἐπαξίως μεγαλύνομεν.

Σῶτερ ὁ ἀμνὸς ὁ ἄμωμος, ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, σὲ δοξάζομεν, τὸν ἀναστάντα τριήμερον, σὺν Πατρί τε καὶ τῷ θείῳ σου Πνεύματι, καὶ Κύριον τῆς δόξης, θεολογοῦντες μεγαλύνομεν.

Θεοτοκίον.

Σῶσον τὸν λαόν σου Κύριε, ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου αἵματι, κατ' ἐχθρῶν ἰσχύν, τῷ Βασιλεῖ χαριζόμενος, καὶ ταῖς σαῖς Ἐκκλησίαις φιλάνθρωπε, βραβεύων τὴν εἰρήνην, τῆς Θεοτόκου ταῖς ἐντεύξεσι.

Τῶν Ἁγίων. Ἅπας γηγενής.

Χαίρει ἡ Σιών, ὡς μήτηρ πολύγονος Χριστῷ προσάγουσα, δῆμον πολυάριθμον, κλεινῶν Ἁγίων ἐκ πάσης τάξεως, βαθμοῦ καὶ ἀξιώματος, λαμπρῶς συγκείμενον, καὶ τὴν μνήμην, τούτων ἑορτάζουσα, εὐφροσύνης ἁγίας πληρώθητι.

Ἄστρα νοητά, τῷ κόσμῳ ἀνίσχουσι καὶ καταλάμπουσι, πάσης γῆς τὰ πέρατα, ἐκ Παλαιστίνης Ἁγίῳ Πνεύματι, οἱ ἐν αὐτῇ ἐκλάμψαντες ἅπαντες Ἅγιοι· ὧν τὴν μνήμην, σήμερον γεραίροντες, τὸν Σωτῆρα Χριστὸν μεγαλύνομεν.

Πάσης ἀρετῆς, ἐργάται γεγόνατε πάντες οἱ Ἅγιοι, ὄντως δοκιμώτατοι, ἐν Παλαιστίνῃ οἱ διαπρέψαντες, ἐν διαφόροις ἔτεσι βίου λαμπρότητι, καὶ ἀθλήσει, καὶ πόνοις ἀσκήσεως· διὰ τοῦτο ὑμᾶς ὁμοῦ μέλπομεν.

Θεοτοκίον.

Ὕμνησαν τὴν σήν, Προφῆται καὶ Μάρτυρες, καὶ πάντες Ἅγιοι, μόνη Ἀειπάρθενε, μεγαλοπρέπειαν



καὶ λαμπρότητα· ὅτι Θεὸν γεγέννηκας τὸν ἀνυψώσαντα, ἐκ βαράθρων, πάσης ματαιότητος, τοὺς ὑμνοῦντας τὸν ἄφραστον τόκον σου.

Δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Εὐφραίνου καὶ ἀγάλλου νέα Σιών, τοῦ Σωτῆρος ἡ νύμφη ἡ ἔνδοξος, ὑπὸ υἱῶν, πλήθους κυκλουμένη θεοειδῶν, τῶν βίου καθαρότητι, καὶ ποικίλοις τρόποις τῆς ἀρετῆς, ἐν χώρᾳ τῇ ἁγίᾳ, Ἁγίων ἐκλαμψάντων, ὧν τὴν λαμπρὰν μνήμην ἑόρταζε.

Προφῆται θεηγόροι καὶ ἐκλεκτοί, Ἀποστόλων χορεία ἡ ἔνδοξος, καὶ Ἀθλητῶν, ἀκαταγωνίστων παρεμβολή, ποιμένες καὶ διδάσκαλοι, Ὅσιοι Πατέρες καὶ Ἀσκηταί, πυρσοὶ τῆς Παλαιστίνης, ποιήσατε πρεσβείαν, ὑπὲρ ἡμῶν πρὸς τὸν Φιλάνθρωπον.

Δόξα. Τριαδικόν.

Ἡ μία Κυριότης καὶ πανσθενής, Παναγία Τριὰς ὁμοούσιε, ζωαρχική, Πάτερ Λόγε Πνεῦμα σεπτὴ Μονάς, πρεσβείαις τῶν Ἁγίων σου, τῶν ἐν Παλαιστίνῃ δίδου ἡμῖν, εἰρήνην οὐρανόθεν, καὶ πᾶσαν Ἐκκλησίαν, ἐκ πάσης φύλαττε αἱρέσεως.

Καὶ νῦν. Θεοτοκίον.

Ὑψώσασα τὴν φύσιν τῶν γηγενῶν, ἐκ φθορᾶς τῇ ἀφθόρῳ κυήσει σου, Μῆτερ Θεοῦ, πρὸς ἀθανασίας τὴν μετοχήν, ἀνύψωσόν με δέομαι, λάκκου ἁμαρτίας τῆς χαλεπῆς, καὶ τῆς ταλαιπωρίας, παθῶν τῶν ἀκαθάρτων, ῥῦσαι καὶ σῶσόν με Πανάχραντε.

Καταβασία. Ἅπας γηγενής...

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν...
Ἐξαποστειλάριον Ἀναστάσιμον.
Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι ἔχαιρον· εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ· καὶ αὐτὸς ταύταις ἔφη· Ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ τοῖς Μαθηταῖς· Ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ἡμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Τῶν Ἁγίων. Γυναῖκες ἀκουτίσθητε.

Λαμπρῶς πανηγυρίζοντες, ὑμῶν τὴν μνήμην σήμερον, ὑμᾶς ὁμοῦ εὐφημοῦμεν, οἱ ἐν τῇ Γῇ τῇ ἁγίᾳ, Ἅγιοι πάντες λάμψαντες, γνωστοί τε καὶ ἀνώνυμοι. Ἀλλ' ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, τῷ Βασιλεῖ τῶν ἁπάντων.

Θεοτοκίον.

Παρθένε Παναμώμητε, Ἁγίων ἐγκαλλώπισμα, τῶν Ἀσωμάτων ἡ δόξα, καὶ τῶν βροτῶν προστασία, ἀπαύστως καθικέτευε, τὸν σὸν Υἱὸν καὶ Κύριον, σὺν τοῖς Ἁγίοις Ἄχραντε, λύσιν διδόναι πταισμάτων, τοῖς σὲ πιστῶς ἀνυμνοῦσι.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους η΄. καὶ ψάλλομεν Ἀναστάσιμα δ΄. τοῦ ἤχου, καὶ τῶν Ἁγίων δ΄.



Ἦχος α΄.

Ὑμνοῦμέν σου Χριστὲ τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος Παντοδύναμος.

Ὁ τὸν Ἅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου Χριστέ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ· ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί· ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν· ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν κόσμον· Κύριε δόξα σοι.

Τῶν Ἁγίων. Ἦχος ὁ αὐτός. Τῶν οὐρανίων ταγμάτων.

Σιὼν ἡ μήτηρ ἀγάλλου Ἐκκλησιῶν ἁπασῶν, τὴν μνήμην ἐκτελοῦσα, τῶν Ἁγίων ἁπάντων, τῶν ἐν τῇ Παλαιστίνῃ ἰδίοις καιροῖς, ἀρετῆς τελειότητι, καὶ πολυτρόποις ἀγῶσι παρὰ Θεοῦ, δοξασθέντων πλείστοις θαύμασι.

Τῶν προφητῶν ἡ χορεία ἡ θεοτίμητος, καὶ ὁ τῶν Ἀποστόλων, θεοδόξαστος δῆμος, Μάρτυρες Κυρίου καὶ Ἀθληταί, Ἱεράρχαι καὶ Ὅσιοι, οἱ ἐν τῇ γῇ Παλαιστίνης δι' ἀρετῆς, διαλάμψαντες τιμάσθωσαν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὅλη ψυχῇ καὶ καρδίᾳ Θεῷ δουλεύσαντες, καὶ χθόνα τὴν ἁγίαν, ἐπὶ πλεῖον τοῖς πόνοις, ὑμῶν τοῖς ἐναρέτοις ὡς ἀληθῶς, θεοφόροι λαμπρύναντες, τὴν ἐν Σιὼν Ἐκκλησίαν πάσης ὀργῆς, ἀσινῆ διατηρήσατε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Ὑμῶν ἱδρῶσιν ἁγίοις καὶ θείοις αἵμασι, τὴν γῆν τῆς Παλαιστίνης, καταρδεύσαντες πᾶσαν, ἐν ταύτῃ οἱ ἐκλάμψαντες ἱερῶς, τῷ Θεῷ προσηνέχθητε, ὥσπερ θυσίαι καὶ ἄμωμοι προσφοραί, δυσωποῦντες ὑπὲρ πάντων ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν Ἁγίων ἁπάντων ὁ χορός, τῶν ἐν τῇ Παλαιστίνῃ λαμψάντων ἱερῶς, διαφόροις χρόνοις ἐν ποικίλοις τρόποις, ἀρρήτῳ δόξῃ παρὰ Θεοῦ ἐδοξάσθη, καὶ τῆς ἐν Χριστῷ ζωῆς καὶ πολιτείας, τρανῶς ἐκφαίνει πᾶσι τὸ κάλλος· οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· Ὢ σύστημα ἱερόν, ἁγιώτατε δῆμε, Ἀγγέλων συμπολῖται· Προφῆται θεόληπτοι, καὶ Ἀπόστολοι ἔνδοξοι· Ἱεραρχῶν ἡ πληθύς, καὶ Ἀθληταὶ Κυρίου· Ὁσίων Πατέρων λαμπρὰ χορεία, καὶ ἀνωνύμων στῖφος τὸ σεπτόν· Σιὼν καλλωπίσματα, Γῆς ἁγίας καυχήματα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ τυπικά, οἱ Μακαρισμοί, Ἀναστάσιμα δ΄. καὶ ἐκ τῶν κανόνων τῶν Ἁγίων ἡ γ΄. καὶ στ΄. ᾠδή. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς καὶ τῶν Ἁγίων, ἤτοι τῶν Ἁγίων Πάντων.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον... καί, Ἀγγαλλιᾶσθε δίκαιοι...

Μεγαλυνάριον.

Χαίρετε Προφῆται οἱ εὐκλεεῖς, Ἀπόστολοι θεῖοι, Ἱεράρχαι θεοειδεῖς, Μάρτυρες Κυρίου, καὶ Ὅσιοι Πατέρες, χθονὸς τῆς Παλαιστίνης ἐγκαλλώπισματα.

Δίστιχον.

Τοὺς ἐν Παλαιστίνῃ ἅπαντας Ἁγίους<br>Γεράσιμος ὕμνησε κοινοῖς ἐν ὕμνοις.

# ΠΑΛΑΙΣΤΙΝΙΟΙ ΑΓΙΟΙ

## ΙΑΝΟΥΑΡΙΟΣ

2) Ἁγία Θεοδότη Μήτηρ τῶν ἐκ τῆς Ἀσίας καταγομένων Ἁγίων Ἀναργύρων
3) Προφήτης Μαλαχίας
Μάρτυς Γόρδιος
4) Ἑβδομήκοντα Ἀποστόλων Σύναξις
7) Ἰωάννου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Σύναξις
8) Ὅσιος Γεώργιος ὁ Χοζεβίτης
Προφήτης Σαμαίας ὁ Ἐλαμίτης
11) Ὅσιος Θεοδόσιος ὁ Κοινοβιάρχης
14) Ἀββάδες οἱ ἐν Σινᾷ καὶ Ραϊθῷ ἀναιρεθέντες
20) Ὅσιος Εὐθύμιος ὁ Μέγας
22) Τιμόθεος Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα
Ὁσιομάρτυς Ἀναστάσιος ὁ Πέρσης
26) Ὅσιοι Ξενοφών, Μαρία ἡ συμβία αὐτοῦ καὶ Ἀρκάδιος καὶ Ἰωάννης τὰ τέκνα αὐτῶν
Μάρτυρες Ἀνανίας, πρεσβύτερος, Πέτρος δεσμοφύλαξ καὶ οἱ σὺν αὐτοῖς ἑπτὰ στρατιῶται

## ΦΕΒΡΟΥΑΡΙΟΣ

3) Δίκαιος Συμεὼν ὁ Θεοδόχος καὶ Ἄννα ἡ Προφῆτις
Μάρτυρες Ἀδριανὸς καὶ Εὔβουλος
Προφήτης Ἀζαρίας
6) Ὅσιοι Βαρσανούφιος καὶ Ἰωάννης
Ὅσιος Δωρόθεος
8) Προφήτης Ζαχαρίας

10) Μάρτυρες καὶ Παρθένοι Ἐνναθά, Οὐαλεντίνη καὶ Παῦλος
Ἀναστάσιος Ἀρχιεπίσκοπος Ἱεροσολύμων
13) Ἀκύλας καὶ Πρίσκιλλα Ἀπόστολοι καὶ Μάρτυρες
Ὅσιος Μαρτινιανὸς
14) Ἱερομάρτυς Φιλήμων Ἐπίσκοπος Γάζης
15) Ὀνήσιμος Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα
Μάρτυς Βαΐωρ
16) Μάρτυρες Πάμφιλος καὶ οἱ σὺν αὐτῷ: Οὐάλης, Παῦλος, Σέλευκος, Πορφύριος, Ἰουλιανός, Θεόδουλος καὶ οἱ Αἰγύπτιοι Ἠλίας, Ἱερεμίας, Ἡσαΐας, Σαμουὴλ καὶ Δανιήλ
17) Μαριάμνη, ἀδελφὴ τοῦ Ἁγίου Φιλίππου τοῦ Ἀποστόλου τοῦ ἐκ τῶν Δώδεκα
19) Ἄρχιππος, Φιλήμων καὶ Ἀπφία Ἀπόστολοι, ἐκ τῶν Ἑβδομήκοντα
Ὅσιος Κόνων
21) Ζαχαρίας Πατριάρχης Ἱεροσολύμων (609-632)
26) Ὅσιος Πορφύριος Ἐπίσκοπος Γάζης
Μεγαλομάρτυς Φωτεινὴ ἡ Σαμαρείτης, αἱ ἀδελφαὶ αὐτῆς: Φωτώ, Φωτίς, Παρασκευή, Κυριακὴ καὶ οἱ υἱοὶ αὐτῆς: Ἰωσῆς καὶ Φωτεινός
27) Ὅσιος Προκόπιος ὁ Δεκαπολίτης
28) Νυμφᾶς καὶ Εὔβουλος Ἀπόστολοι, ἐκ τῶν Ἑβδομήκοντα
Ὅσιος καὶ Ὁμολογητὴς Βασίλειος, συναθλητὴς τοῦ Ἁγίου Προκοπίου τοῦ Δεκαπολίτου

## ΜΑΡΤΙΟΣ

4) Ὅσιος Γεράσιμος ὁ ἐν Ἰορδάνῃ
Μάρτυρες Παῦλος καὶ Ἰουλιανὴ
5) Μάρτυς Κόνων ὁ Κηπουρὸς
Μάρτυρες Εὐλόγιος καὶ Εὐλάμπιος



8) Ἑρμᾶς Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα
11) Σωφρόνιος Ἀρχιεπίσκοπος Ἱεροσολύμων (634—638)
Ὅσιος Γεώργιος ὁ Σιναΐτης
15) Ἀριστόβουλος Ἀπόστολος, Ἐπίσκοπος Βρεττανίας, ἀδελφὸς Βαρνάβα τοῦ Ἀποστόλου
Μάρτυρες Ἀγάπιος καὶ οἱ σὺν αὐτῷ: Πλήσιος, Ρωμύλος, Τιμόλαος, δύο Ἀλέξανδροι καὶ δύο Διονύσιοι
16) Μάρτυρες Δέκα οἱ ἐν Φοινίκῃ
Ὅσιος Χριστόδουλος ὁ ἐν Πάτμῳ
18) Κύριλλος Ἀρχιεπίσκοπος Ἱεροσολύμων (350—386)
20) Ὅσιοι Ἀββάδες οἱ ἐν τῇ Λαύρᾳ Σάββα τοῦ Ἡγιασμένου ἀναιρεθέντες
24) Ὀκτὼ Μάρτυρες οἱ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης
28) Ἡρωδίων Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα
29) Μάρτυρες: Μᾶρκος, Ἐπίσκοπος Ἀρεθουσίων, Κύριλλος, Διάκονος καὶ οἱ ἐν Ἀσκάλωνι καὶ Γάζῃ Παρθένοι γυναῖκες καὶ Ἱερωμένοι ἄνδρες
30) Προφήτης Ἰωὴλ ἢ Ἰωὰδ
Ὅσιος Ἰωάννης συγγραφεὺς τῆς Κλίμακος
Ἰωάννης Πατριάρχης Ἱεροσολύμων

## ΑΠΡΙΛΙΟΣ

1) Ὁσία Μαρία ἡ Αἰγυπτία
2) Παρθενομάρτυς Θεοδώρα
4) Ὅσιος Ζωσιμᾶς, ὁ κηδεύσας τὴν Ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν
6) Δύο Μάρτυρες οἱ ἐν Ἀσκαλῶνι
Ὅσιος Γρηγόριος ὁ Σιναΐτης
8) Ἄγαβος, Φλέγων, Ροῦσος καὶ Ἀσύγκριτος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
11) Προφήτης Ὀλδὰ
14) Ἀρίσταρχος, Πούδης, καὶ Τρόφιμος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων

18) Ὅσιος Ἰωάννης, μαθητὴς τοῦ Ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου
20) Ζακχαῖος Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα
21) Ὅσιος Ἀναστάσιος ὁ Σιναΐτης
23) Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος
Νεομάρτυς Γεώργιος ὁ μαρτυρήσας, ἐν τῇ πόλει τῆς Πτολεμαΐδος, ἐν ἔτει 1752
25) Μᾶρκος ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς
27) Συμεὼν Ἱερομάρτυς, συγγενὴς τοῦ Κυρίου, Ἐπίσκοπος Ἱεροσολύμων
29) Ἰάσων καὶ Σωσίπατρος ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
30) Ἰάκωβος Ἀπόστολος, Ἀδελφὸς Ἰωάννου τοῦ Θεολόγου

## ΜΑΪΟΣ

1) Προφήτης Ἱερεμίας
8) Ἰωάννης ὁ Θεολόγος, Ἀπόστολος καὶ Εὐαγγελιστὴς
9) Προφήτης Ἠσαΐας
10) Σίμων ὁ Ζηλωτὴς ἢ Ναθαναήλ, εἷς ἐκ τῶν Δώδεκα Ἀποστόλων
14) Λεόντιος ὁ Β΄ Πατριάρχης Ἱεροσολύμων (1170 — 1190)
16) Ἀλέξανδρος Ἀρχιεπίσκοπος Ἱεροσολύμων
Ἀββάδες, οἱ ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα, ὑπὸ τῶν Βλεμμύων ξίφει τελειωθέντες
17) Ἀπόστολοι Ἀνδρόνικος καὶ Ἰουνία
21) Θεόστεπτοι μεγάλοι Βασιλεῖς καὶ Ἰσαπόστολοι Κωνσταντῖνος καὶ Ἑλένη
23) Μαρία ἡ τοῦ Κλωπᾶ Μυροφόρος
26) Κάρπος Ἀπόστολος, εἷς ἐκ τῶν Ἑβδομήκοντα
Ἀλφαῖος Ἀπόστολος, εἷς ἐκ τῶν Δώδεκα καὶ τὰ τέκνα αὐτοῦ Μάρτυρες Ἀβέρκιος καὶ Ἑλένη
29) Μάρτυς Θεοδοσία



## ΙΟΥΝΙΟΣ

4) Μαρία καὶ Μάρθα, ἀδελφαὶ τοῦ Δικαίου Λαζάρου
6) Μάρτυρες πέντε Παρθένοι, Μάρθα καὶ Μαρία καὶ αἱ συνοδεῖαι αὐτῶν ἤτοι Κυρία, Βαρερία καὶ Μαρκία
11) Ἀπόστολοι Βαρθολομαῖος ἐκ τῶν Δώδεκα καὶ Βαρνάβας ἐκ τῶν Ἑβδομήκοντα
14) Προφήτης Ἑλισσαῖος
15) Προφήτης Ἀμὼς
Φουρτουνᾶτος, Ἀχαϊκὸς καὶ Στεφανᾶς Ἀπόστολοι ἐκ τῶν Ἑβδομήκοντα
Ὅσιος Ἱερώνυμος
19) Ἀπόστολος Ἰούδας ἢ Θαδδαῖος, εἷς τῶν Δώδεκα
24) Δικαίων Ζαχαρίου καὶ Ἐλισάβετ Σύναξις
27) Ἰωάννα Μυροφόρος
28) Μάρτυρες Ἑβδομήκοντα οἱ ἐν Σκυθουπόλει
29) Πρωτοκορυφαῖοι Πέτρος καὶ Παῦλος
30) Ἀποστόλων Δώδεκα Σύναξις

## ΙΟΥΛΙΟΣ

1) Μάρτυς Κωνσταντῖνος ὁ Θαυματουργὸς καὶ οἱ σὺν αὐτῷ
2) Ἰουβενάλιος, Πατριάρχης Ἱεροσολύμων (422—458)
4) Ἀνδρέας Ἀρχιεπίσκοπος Κρήτης ὁ Ἱεροσολυμίτης
8) Προκόπιος Μεγαλομάρτυς καὶ οἱ σὺν αὐτῷ: Ἁγία Θεοδοσία, ἡ μήτηρ αὐτοῦ καὶ οἱ Ἅγιοι Δώδεκα γυναῖκες αἱ Συγκλητικαί, οἱ δύο Τριβοῦνοι Ἀντίοχος καὶ Νικόστρατος καὶ ὁ Μάρτυς Ἀβδᾶς
12) Βερονίκη ἡ αἱμορροοῦσα, ἣν ἰάσατο ὁ Χριστὸς
14) Ἀκύλας Ἀπόστολος, εἷς ἐκ τῶν Ἑβδομήκοντα
Ὅσιος Ὀνήσιμος ὁ Θαυματουργὸς
18) Μάρτυρες Παῦλος, Οὐαλεντίνη καὶ Θεὴ

19) Θεόδωρος ὁ κατὰ τὴν Λαύραν τοῦ Ἁγίου Σάββα ἀσκήσας, εἶτα Ἐπίσκοπος Ἐσέσσης γενόμενος
20) Προφήτης Ἠλίας ὁ Θεσβίτης
22) Μυροφόρος καὶ Ἰσαπόστολος Μαρία ἡ Μαγδαληνὴ
23) Προφήτης Ἰεζεκιὴλ
28) Διάκονοι Πρόχορος, Νικάνωρ, Τίμων καὶ Παρμενᾶς ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων.
30) Σίλας, Σιλουανός, Κρήσκης, Ἐπαινετὸς καὶ Ἀνδρόνικος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
31) Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὁ κηδευτὴς τοῦ Δεσπότου Χριστοῦ.

## ΑΥΓΟΥΣΤΟΣ

1) Ἑπτὰ Μάρτυρες Μακκαβαῖοι Ἀβεί, Ἀντώνιος, Γουρίας, Ἐλεάζαρος, Εὐσεβωνᾶς, Ἀχεὶμ καὶ Μάρκελλος, ἡ μήτηρ αὐτῶν Σολομονὴ καὶ ὁ διδάσκαλος αὐτῶν Ἐλεάζαρος.
2) Νικόδημος ὁ Ἐνταφιαστὴς τοῦ Κυρίου, ἐν ταῖς βασάνοις ἐτελειώθη
3) Σαλώμη Μυροφόρος
7) Ἱερομάρτυς Νάρκισσος, Ἀρχιεπίσκοπος Ἱεροσολύμων ξίφει ἐτελειώθη
9) Ματθίας Ἀπόστολος καὶ Ὅσιος Πασσαρίων
13) Εὐδοκία ἡ Βασίλισσα
Ὅσιος Σέρις Ἡγούμενος τῆς ἐν Γάζῃ Μονῆς
Ὅσιος Δωρόθεος
Ὅσιος Δοσίθεος
14) Προφήτης Μιχαίας
17) Μάρτυρες αὐτάδελφοι Παῦλος καὶ Ἰουλιανὴ καὶ οἱ δήμιοι αὐτῶν Κοδράτος, Ἀκάκιος καὶ Στρατόνικος
19) Μάρτυρες Τιμόθεος, Ἀγάπιος καὶ Θέκλα
20) Προφήτης Σαμουὴλ
21) Θαδδαῖος Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα



24) Ἱερομάρτυς Εὐτυχής, μαθητὴς τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου
25) Τίτος Ἀπόστολος, ἐκ τῶν Ἑβδομήκοντα
31) Ἑπτὰ Παρθένοι αἱ Γαζαῖαι ξίφει ἐτελειώθησαν

## ΣΕΠΤΕΜΒΡΙΟΣ

1) Δίκαιος Ἰησοῦς τοῦ Ναυῆ
2) Δίκαιοι ἱερεῖς Ἐλεάζαρ καὶ Φινεὲς
3) Ὅσιος Θεόκτιστος, συνασκητὴς τοῦ Μεγάλου Εὐθυμίου
4) Προφήτης καὶ Θεόπτης Μωϋσῆς
Ἑρμιόνη, μία τῶν τεσσάρων θυγατέρων τοῦ Ἀποστόλου Φιλίππου
Ἅγιοι Θεότιμος καὶ Θεόδουλος, οἱ ἀπὸ δημίων πιστεύσαντες ἐν εἰρήνῃ ἐτελειώθησαν
9) Δίκαιοι Θεοπάτορες Ἰωακεὶμ καὶ Ἄννα
10) Ἀπελλῆς, Λουκᾶς καὶ Κλήμης, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
13) Ἱερομάρτυς Κορνήλιος ὁ Ἑκατόνταρχος
17) Ἱερομάρτυρες Πηλεὺς καὶ Νεῖλος οἱ Ἐπίσκοποι, Μάρτυρες Πατερμούθιος καὶ Ἠλίας οἱ ἐνδοξότατοι πυρὶ ἐτελειώθησαν. Ἑκατὸν μάρτυρες οἱ Αἰγύπτιοι ξίφοι ἐτελειώθησαν. Πεντήκοντα Μάρτυρες, οἱ ἐκ Παλαιστίνης, πυρὶ ἐτελειώθησαν
21) Προφήτης Ἰωνᾶς
Κοδρᾶτος Ἀπόστολος, εἷς ἐκ τῶν Ἑβδομήκοντα
Ὅσιος καὶ Θεοφόρος Ἰωνᾶς ὁ Σαββαΐτης, Πατὴρ Θεοδώρου καὶ Θεοφάνους τῶν Γραπτῶν
Μάρτυς Εὐσέβιος ξίφει ἐτελειώθη
Ὁμολογητὴς Νέστωρ καὶ Μάρτυρες αὐτάδελφοι Εὐσέβιος, Νέσταβος καὶ Ζήνων
24) Ὅσιος Κόπριος

27) Μᾶρκος, Ἀρίσταρχος καὶ Ζήνων, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
28) Ὅσιος καὶ Ὁμολογητὴς Χαρίτων
Προφήτης Βαροὺχ
29) Ὅσιος Κυριακὸς ὁ ἀναχωρητὴς
Ἑκατὸν πεντήκοντα Μάρτυρες οἱ ἐν Παλαιστίνῃ

## ΟΚΤΩΒΡΙΟΣ

1) Ἀνανίας Ἀπόστολος ἐκ τῶν Ἑβδομήκοντα
3) Ὅσιος Ἰωάννης ὁ Χοζεβίτης, Ἐπίσκοπος Καισαρείας
6) Ἀπόστολος Θωμᾶς, εἷς ἐκ τῶν Δώδεκα
8) Ὁσία Πελαγία
9) Ἀπόστολος Ἰάκωβος τοῦ Ἀλφαίου, εἷς ἐκ τῶν Δώδεκα
11) Ἀπόστολος Φίλιππος, εἷς τῶν ἑπτὰ Διακόνων
Δίκαιος Ἀβραὰμ καὶ ὁ ἀνηψιὸς αὐτοῦ Λὼτ
Ὅσιος καὶ Ὁμολογητὴς Θεοφάνης ὁ Γραπτὸς
14) Ὅσιος Κοσμᾶς ὁ ποιητής, Ἐπίσκοπος Μαϊουμᾶ
Ἱερομάρτυς Σιλβανὸς ὁ Γέρων
16) Μάρτυς Λογγῖνος ὁ Ἑκατόνταρχος
Οἱ σὺν τῷ Ἁγίῳ Λογγίνῳ ἀναιρεθέντες δύο στρατιῶται
17) Προφήτης Ὡσηὲ
Δικαίου Λαζάρου ἀνακομηδὴ Λειψάνου
18) Ἀπόστολος καὶ Εὐαγγελιστὴς Λουκᾶς
19) Προφήτης Ἰωὴλ
21) Ὅσιος Ἱλαρίων ὁ Μέγας
23) Ἰάκωβος ὁ Ἀδελφόθεος
25) Ἁγία Ταβιθᾶ, ἣν ἀνέστησεν ἐκ νεκρῶν ὁ Ἀπόστολος Πέτρος
26) Ἁγία Πρόκλα, σύζυγος τοῦ Πιλάτου



28) Ὅσιος Στέφανος ὁ Σαββαΐτης
29) Ἱερομάρτυς Κυριακὸς Ἐπίσκοπος Ἱεροσολύμων
Μάρτυς Ἄννα, ἡ μήτηρ τοῦ Ἁγίου Κυριακοῦ λαμπάσι φλεγομένη ἐτελειώθη
30) Κλεόπας ἢ Κλεοπᾶς Ἀπόστολος
31) Στάχυς, Ἀπελλῆς, Ἀμπλίας, Οὐρβανός, Νάρκισσος, Ἀριστόβουλος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων

## ΝΟΕΜΒΡΙΟΣ

3) Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος. Ἐγκαίνια τοῦ Ναοῦ αὐτοῦ ἐν Λύδδῃ ἤτοι ἡ κατάθεσις τοῦ ἁγίου σώματος αὐτοῦ
5) Μάρτυρες Γαλακτίων καὶ Ἐπιστήμη
Ἑρμᾶς, Πατρόβας, Λίνος, Γάϊος καὶ Φιλόλογος ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
Μάρτυς Δομνῖνος καὶ οἱ σὺν αὐτῷ: Τιμόθεος, Θεόφιλος, Θεότιμος, Ἱερομάρτυς Δωρόθεος ὁ Πρεσβύτερος, Εὐψύχιος, Καρτέριος, Σιλβανὸς Πάμφιλος καὶ οἱ λοιποὶ
10) Ὀλυμπᾶς, Ροδίων, Ἔραστος, Σωσίπατρος καὶ Κούαρτος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
12) Προφήτης Ἀχιὰ
14) Φίλιππος Ἀπόστολος, εἷς ἐκ τῶν Δώδεκα
15) Μάρτυρες Ἐλπίδιος, Μάρκελλος καὶ Εὐστόχιος
16) Ματθαῖος Ἀπόστολος καὶ Εὐαγγελιστὴς
18) Μάρτυς Ρωμανὸς
19) Προφήτης Ἀβδιοὺ
22) Φιλήμων, Ἄρχιππος, Ὀνήσιμος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων καὶ Ἀπφιά
Μάρτυς Προκόπιος ὁ Παλαιστινὸς
25) Μεγαλομάρτυς Αἰκατερίνη
30) Ἀνδρέας Ἀπόστολος ὁ Πρωτόκλητος

## ΔΕΚΕΜΒΡΙΟΣ

1) Προφήτης Ναοὺμ
2) Προφήτης Ἀββακοὺμ
3) Προφήτης Σοφονίας
Ἰωάννης ὁ Ἡσυχαστής, Ἐπίσκοπος Κολωνίας
4) Ὅσιος Ἰωάννης ὁ Δαμασκηνός, ὁ ἐπιλεγόμενος Χρυσορρόας
5) Ὅσιος καὶ Θεοφόρος Σάββας ὁ ἡγιασμένος
8) Σωσθένης, Ἀπολλώς, Κηφᾶς, Τυχικός, Καῖσαρ καὶ Ἐπαφρόδιτος, ἐκ τῶν Ἑβδομήκοντα Ἀποστόλων
11) Κυριακὴ τῶν Ἁγίων Προπατόρων, μνήμη τῶν πρὸ νόμου καὶ ἐν τῷ νόμῳ, κατὰ σάρκα Προπατόρων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξαιρέτως δὲ τοῦ Πατριάρχου Ἀβραάμ
12) Ἱερομάρτυς Ἀλέξανδρος, Ἀρχιεπίσκοπος Ἱεροσολύμων (213—250)
15) Ὁσιομάρτυς Σωσάννα, ἡ εἰς ἄνδρα μετασχηματισθεῖσα καὶ μετονομασθεῖσα Ἰωάννης
16) Προφήτης Ἀγγαῖος
Μόδεστος Πατριάρχης Ἱεροσολύμων (632—634)
17) Προφήτης Δανιὴλ καὶ οἱ τρεῖς Παῖδες, Ἀνανίας, Ἀζαρίας καὶ Μισαὴλ
18) Ἱερομάρτυς Μόδεστος, Ἀρχιεπίσκοπος Ἱεροσολύμων
Κυριακὴ πρὸ τῆς Χριστοῦ Γεννήσεως, μνήμη πάντων τῶν ἀπ' αἰῶνος Θεῷ εὐηρεστησάντων, ἀπὸ Ἀδὰμ ἄχρι καὶ Ἰωσὴφ τοῦ Μνήστορος τῆς Ὑπεραγίας Θεοτόκου, ὁμοίως καὶ τῶν Προφητῶν καὶ Προφητίδων
Μάρτυρες Ζακχαῖος Διάκονος καὶ Ἀλφειὸς Ἀναγνώστης, ἀθλήσαντες ἐν Καισαρείᾳ
19) Μάρτυρες Ἠλίας, Πρόβος, Ἄρης κ.λ.π.



26) Κυριακὴ μετὰ τὴν Χριστοῦ γέννησιν, μνήμη τῶν Ἁγίων Ἰωσὴφ τοῦ Μνήστορος τῆς Παρθένου, Δαυῒδ τοῦ Προφήτου καὶ Βασιλέως, καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου
27) Πρωτομάρτυς καὶ Ἀρχιδιάκονος Στέφανος
Θεόδωρος ὁ Γραπτός, ἀδελφὸς Θεοφάνους τοῦ ποιητοῦ καὶ γραπτοῦ
29) Ἅγια Νήπια, τὰ ἐν Βηθλεὲμ ὑπὸ Ἡρώδου ἀναιρεθέντα, χιλιάδες δεκατέσσαρες
31) Ὁσία Μελάνη ἡ Ρωμαία

Ἡ ἔκδοσις ἐγένετο ἐπιμελείᾳ
ΣΠΥΡΙΔΩΝΟΣ ΔΗΜ. ΚΟΝΤΟΓΙΑΝΝΗ
Βοηθοῦ ἐν τῇ Θεολογικῇ Σχολῇ
τοῦ Πανεπιστημίου Ἀθηνῶν




ΓΙΩΡΓΟΣ ΠΑΠΑΝΙΚΟΛΑΟΥ
ΙΠΠΟΚΡΑΤΟΥΣ 58 ΑΘΗΝΑ 144. ΤΗΛ 3624728 3627413